# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mlw-al

Ἀριστοφάνους Σχόλια · Aristophanes Scholia

# Commentary-Frogs

*Ὑπόμνημα εἰς Βάτραχους*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book 1 Ξανθίας οἰκέτης, ὃς καὶ προλογίζει τῷ ἀναφόρῳ τὸν ὦμον θλιβόμενος· Διόνυσος· χορὸς μυστῶν· νεκρός· Χάρων· Αἰακός· χορὸς βατράχων· πανπανδοκεύτρια· Εὐριπίδης· ἑτέρα πανδοκεύτρια· Αἰσχύλος· Πλούτων· Ἡρακλῆς.

book 8 τἀνάφορον] ἀλλακτόν.

book 27 οὔκουν] οὐχί

book 67 Εὐριπίδου καὶ ταῦτα: οἱ πλείους τοὺς τρεῖς στίχους καὶ τὸ ἡμιστίχιον ἀπὸ τοῦ “τοιουτοσὶ τοίνυν με” μέχρι τοῦ “μὢὐκ ἐλθεῖν ἐπ’ ἐκεῖνον” ἑνὸς προσώπου φασὶ τοῦ Διονύσου· τινὲς δὲ μέχρι τοῦ “Εὐριπίδου καὶ ταῦτα”· εἶτα τὸ “τοῦ τεθνηκότος”. λέγουσιν, Ἡρακλῆς φησιν, καὶ πάλιν αὐτοῦ Διονύσου τὸ “κοὐδείς γέ μ’ ἂν”.

book 76 πρότερον] ἢ τῇ ἡλικίᾳ, ἢ τιμιώτερον.

book 82 εὔκολος] ἁπλοῦς.

book 266 τὸ] τῷ.

book 277 νῷν] ἡμῖν.

book 279 ἐκεῖνος] ὁ Ἡρακλῆς.

book 283 τινι] θηρίῳ.

book 293 ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει· ἐπάλμενος ὀξέϊ δουρί· “μεθαρμοζόμενος” νήϊά τε ξύλα πολλά, τά τ’ ἄρμενα νηυσὶ πέλονται·

book 308 ὁδὶ] ὁ ἱερεύς.

book 311 χρόνου πόδα] ἤγουν τὸν Εὐριπίδην.

book 330a , ἀλλὰ καὶ κισσίνῳ· κἂν τοῖς συμποσίοις τὸ παλαιὸν μυρσίναις ἐστέφοντο.

book 364 Ἐπίδαυρον] πόλιν λακωνικήν.

book 366a Κινησίαν δ’, ὡς πρὶν εἴπομεν, τὸν διθυραμβοποιὸν κωμῳδεῖ.

book 377 ἔμβα] χόρευε.

book 418 φράτορας] συγγενεῖς.

book 452 ἦν] ὃν.

book 474a

πλευμόνων: τῶν πνευμόνων· δωρικῶς ἀντὶ τοῦ λ, ν γράφουσι· ἦνθον τοι ποιμένες, τοι βουκόλοι. οὕτω Δωριεῖς ἀντὶ τοῦ λ, ν γράφουσιν, Ἀττικοὶ δὲ ἀντὶ τοῦ ν, λ.

book 474b πλευμόνων] πνευμόνων.

book 482 οἶσε] οἶσαι.

book 485 εἰς τὴν κάτω μου κοιλίαν: εἰς τὴν περὶ τὰ παιδοσπόρα.

book 507 κολλάβους] ἄρτους.

book 508 ἐπαινῶ] παραιτοῦμαι.

book 513/14 ἤδ’ ἔνδον: ἤδη ἔνδον ἐστὶ καὶ αὐλητρίς. οὐ γὰρ “ἥδε” καὶ αὕτη, φησίν, ἡ αὐλητρίς· ἐκθλίβεται γὰρ τὸ η τὸ μακρόν.

book 518 εἰσήρετο ἡ τράπεζα: εἰσήγετο.

book 540 Θηραμένους] τοῦ.

book 548b ἐξέκοψε τοὺς χοροὺς:

book 558 τάριχος: κρέας ἁλιστὸν εἴτε καὶ ἰχθὺν νόει.

book 574 , ἐν ᾧ οἱ κακοῦργοι ἐρρίπτοντο καὶ ἀνῃροῦντο.

book 575 τὸν λάρυγγα: ὃν δοκοῦσιν εἶναι πολλοῖς ἡ φάρυγξ καὶ ὁ λάρυξ· δύο δέ εἰσιν ἔνδον

book 603 ὀρίγανον] δριμύ.

book 606 ἀνύετον] σπεύδετον.

book 615a ποήσω] ποιήσω.

book 615b εὐγενές.

book 618/19 ἐν κλίμακι: ὁ σοφὸς σχολιογράφος ἐνθάδε τι λέγειν οὐκ ἔχων λαλεῖν οὐκ αἰσχύνεται, ἀλλ’, ἡδύσματος ἕνεκα λόγου, καὶ ἅ φησι κατὰ ῥητὸν ἐγγραπτέον μοι. “τὸ “ἐν” πρὸς τὸ “δήσας”· ποία δέ τις ἐγένετο λύμη, σοφώτατε, εἰ τὸ μὲν νοηθείη, ὥσπερ καὶ ἔχει, “ἐν κλίμακι δήσας”, ἐκεῖνο δὲ “κάππεσον ἐν Λήμνῳ”; ἀλλὰ δεξιοῦ καὶ πυκνοῦ τὰς φρένας ἀνδρός ἐστιν ἐφερμηνεύειν, ὅτι τὸ “ποτνιᾶται” πρὸς τὸ “ὑποποτνιᾶται” σημαίνει.

book 621a πλὴν] ἄνευ.

book 621b πράσῳ] ἐν.

book 628 τινὶ] ἤγουν σοί.

book 632 ἀπὸ κοινοῦ τὸ “φημί” λάμβανε εἰς τὸ “τοῦτον δὲ δοῦλον”.

book 646a καὶ πῶς οὐκ ἔπταρον, ἤτοι πῶς οὐδέ, ὡς οἱ νυττόμενοι λεπτῷ ξυλαρίῳ τὴν ῥῖνα, τυπτόμενος ἐγὼ ἔπταρον;

book 659b Πυθῶν’] τήν.

book 659c Δῆλον] τήν.

book 662 σπόδει: τύπτε, δαῖρε.

book 711a ψευδονίτρου] τῆς.

book 711b κονίας] τέφρας καὶ γῆς.

book 712 κιμωλίας] λευκῆς.

book 745b φησί· “μῦσται μὲν λέγονται οἱ πρώτως μυηθέντες καὶ τὰ μυστήρια γνόντες· οἱ δὲ τοῖς μετὰ ταῦτα ἐνιαυτοῖς ταῦτα ὁρῶντες ἐποπτεύοντες λέγονται, οὐκέτι δὲ μῦσται καλοῦνται”.

book 791 , ἔμελλεν ὁ Σοφοκλῆς ἔφεδρος καθεδεῖσθαι καὶ ἐν τῷ τόπῳ τῆς καθέδρας, ἐν ᾗ ἐτάχθη, καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ, ἕξειν κατὰ χώραν, τουτέστι κ[αρτερῆ]σαι καὶ μεῖναι τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθέδρᾳ, ἣν ἔλαβεν αὐτὸς Σοφοκλῆς· εἰ δὲ μὴ κρατεῖ καὶ νικᾷ ὁ Αἰσχύλος, περὶ τῆς τέχνης πρὸς Εὐριπίδην ὁ Σοφοκλῆς ἔλεγε τότε διαμαχεῖσθαι. Τζέτζης μὲν οὕτω ταῦτά σοι σαφῶς λέγει.

book 797 σταθμήσεται] ζυγοσταθμήσεται.

book 807b συνέβαιν’] ἤρεσκεν.

book 813 ἐσπουδακόσι (sic)] τοῖς δούλοις.

book 814 ἦ που δεινὸν ἐριβρεμέτας: ὄντως, φησίν, ὁ βροντολόγος Αἰσχύλος καὶ ὑψηλαῖς χρώμενος λέξεσι. χόλον ἔνδοθεν ἕξει, ἤτοι πρὸς μέγαν θυμὸν κινηθείη, τοῦ (815) περικαρδίου ζέσαντος αἵματος, ἡνίκα ἂν τὸν ὀξυλάλον ἴδῃ, τὸν Εὐριπίδην, τὸν ὀξέα καὶ μεγάλα ἢ πολλὰ λαλοῦντα καὶ φλυαροῦντα. οὕτω δὲ συντακτέον· ἡνίκα τὸν (816) Εὐριπίδην θεάσηται, μανίας ὑπὸ δεινῆς ὄμματα στροβήσεται, ἤτοι ὑπὸ τῆς μανίας—νῦν τοῦ θυμοῦ· οὐ γὰρ Αἰσχύλος ἐμάνη— τὰ ὄμματα στροβήσεται καὶ στρέψει ἐπὶ τὸ θυμικόν τε καὶ ἄγριον ἀπὸ τοῦ καθεστηκότος καὶ προσηνοῦς βλέμματος. πῶς δὲ τοὺς ὀφθαλμοὺς στρέψει ἐπὶ τὸ ὁρᾶν ἄγριον; θήγοντος καὶ ἀκονῶντος τοῦ ἀντιτέχνου ἤτοι τοῦ Εὐριπίδου ὀδόντα. τροπικῶς εἶπεν, ὡς ἐπὶ μάχης χοίρων ἀγρίων θηγόντων κατ’ ἀλλήλων ὀδόντας, δέον εἰπεῖν· τοῦ Εὐριπίδου ἐναντιου-

book 814 μένου αὐτῷ λόγοις καὶ ἀντιπίπτοντος.

book 818 ἔσται δ’ ἱππολόφων τε λόγων: κινηθήσονται δὲ καὶ ἀναρραγῶσι τῶν μετεώρων καὶ ὑψηλῶν λόγων τοῦ Αἰσχύλου κορυθαιόλα ἤτοι ὑψηλοποίκιλα νείκη καὶ σκινδαλάμων καὶ λεπτῶν καλαμοξεσμάτων ἤτοι λόγων εὐτελῶν εὐριπιδείων παραξόνια καὶ παραξέσματα· οὐ τὰ περὶ τοὺς ἄξονας, ἀλλ’ ὡς ἀπὸ τοῦ “φέρω”, “φόριον”, τὸ φερόμενον, οὕτως ἀπὸ τοῦ “ξέω”, “ξόϊον”, καὶ διὰ τὴν εὐφωνίαν προσθέσει τοῦ νῦ·

book 818 “ξόνιον” καὶ “παραξόνιον”. ὅτι δὲ δι’ εὐφωνίαν τὸ νῦ πολλάκις εὑρίσκεται πίπτον, ἔχεις τὸ “ἀάργυροι”, “ἀνάργυροι”, καὶ ἕτερα δὲ μυρία.

book 819 σμιλεύματά τε ἔργων: λεπτολογίας ἐνθυμημάτων βαναύσους, ἀπὸ τῶν ὑπὸ σμίλης ξεομένων εὐτελῶν καὶ ῥυπαρῶν καὶ ὀδωδότων ἐκ δερμάτων ξεσμάτων. ἡ δὲ τοῦ λόγου συνέπεια οὑτωσί· ἔσται δὲ ἱππολόφων τε λόγων κορυθαιόλα νείκη. εἶτα ἐφερμηνευτικὸν “ῥήματα ἱπποβάμονα, σκινδαλάμῶν τε παραξόνια σμιλεύματά τ’ ἔργων”. δι’ ἣν δὲ αἰτίαν ἔσται τὰ νείκη; ἀμυνομένου καὶ ἐναντιουμένου μὲν Εὐριπίδῃ, ἑαυτῷ δὲ βοηθοῦντος, ἤτοι συνιστῶντος τὰ οἰκεῖα, τοῦ Αἰσχύλου· τοῦ φωτὸς λέγω, τοῦ φρενοτέκτονος ἀνδρός, τοῦ νοῦν κατασκευάζοντος καὶ φρόνησιν ἀπογεννῶντος ἐν τοῖς συγγράμμασιν.

book 822a φρίξας δ’ αὐτοκόμου λοφιᾶς: τριῶν εἰκόνων εἰκάσματα εἰς ἓν συνάψας ζωγραφεῖ τὸν Αἰσχύλον· συὸς ἀγρίου, λέοντος καὶ τυφωνικοῦ πνεύματος· καί φησι· φρίξας δὲ καὶ πυκνώσας καὶ ὀρθὴν ἄρας τὴν χαίτην τῆς λοφιᾶς καὶ ῥάχεως, τῆς αὐτοκόμου καὶ φύσει κομώσης— τῆς λοφιᾶς καὶ ῥάχεως ποίαν κόμην; τὴν λασίαν περὶ τὸν αὐχένα—ὡς λέων συνάγων καὶ συνδέων τὸ δεινὸν ἐπισκύνιον καὶ σαρκῶδες τῶν ὀφρύων, βρυχώόμενος ἥσει καὶ πέμψει ῥήματα γομφοπαγῆ, καλῶς καὶ ἀρίστως προσηλωμένα καὶ ἀπαράθραυστα. “βρυχώμενος” οὐκ οἶδα, τί παθόντες οἱ παλαιοὶ μικρὸν γράφουσιν· ἐγὼ δὲ “βρύκχω”, “βρυκχόμενος” ὁ ἐσθιόμενος, μικρογραφῶ· “βρυχώμενος” δὲ ὁ βοὴν προπέμπων λεόντειον, διὰ τῆς τοῦ ω μεγάλου ἐκφέρω γραφῆς, ὡς ἐκ τοῦ “βρυχάω”, “βρυχῶ”.

book 822b φρίξας] πυκνώσας.

book 822c αὐτοκόμου] τῆς.

book 822d λοφιᾶς] ῥάχεως.

book 823a ἐπισκύνιον] σαρκῶδες.

book 823b ἥσει] πέμψει.

book 824a γομφοπαγῆ] ἀκριβέστατα.

book 824b πινακηδὸν ἀποσπῶν: ἡ βρυχή με τοῦ λέοντος τῆς συνεπείας ἀπέσπασεν· ἀλλ’ ἀνθεκτέον πάλιν αὐτῆς. φρίξας, φησίν, ὡς σῦς τὸν αὐχένα καὶ συνάξας τὰς ὀφρῦς ὥσπερ λέων καὶ βρυχησάμενος πέμψει ῥήματα στερρά, πινακηδὸν ἀποσπῶν ἐν γηγενεῖ καὶ γιγαντικῷ καὶ τυφωνικῷ φυσήματι καὶ πνεύματι· ἀποσπῶν καὶ ἀνασπῶν πινακηδόν, ὁλοκληροπλοιαρπάστως, ὡς τὸ τυφωνικὸν πνεῦμα πνεῦσαν ὅλας ἀνασπᾷ τὰς πλεούσας ὁλκάδας. πίνακες δὲ οὐχ αἱ μεγάλαι σανίδες καλοῦνται, ὡς οἱ πρὸ ἡμῶν ἐτόλμησαν ἑρμηνεύειν, ὡς κἂν τοῖς λοιποῖς ἅπασιν, ἀλλὰ καθ’ ἡμᾶς πίνακες αὐτὰ τὰ σκάφη τῶν πλοίων εἰσίν, ἤτοι αὐτὰ τὰ πλοῖα ὁλόκληρα.

book 826a ἔνθε δὴ στοματουργός: ἐντεῦθεν ὁ Εὐριπίδης, ἡ γλῶσσα ἡ στοματουργὸς καὶ στωμύλους ἐργαζομένη καὶ γράφουσα λόγους, ἡ λίσπη, ἡ λεπτοτάτη καὶ ἄχρι κυμίνου διεξιοῦσα—λίσποι οἱ τετριμμένοι ἀστράγαλοι, ἐξ ὧν καὶ οἱ τὰ ἰσχία λεπτοὶ λίσποι λέγονται· οἱ δέ· λίσπη, φασί, θηρίον ἐστὶ πάνυ λεπτότατον— ἡ βασανίστρια καὶ πολυπράγμων, ἀνελισσομένη καὶ στρεφομένη, φθονεροὺς κινοῦσα χαλινούς, ἐκ φθόνου κινοῦσα λόγους ἀλόγου φρενός, τὰ ῥήματα καὶ τοὺς Αἰσχύλου λόγους δαιομένη καὶ διαιροῦσα καὶ τέμνουσα, καταλεπτολογήσει καὶ ἄχρι τῶν τυχόντων καὶ τῶν λεπτῶν πολυπραγμονήσει τὸν πολὺν πόνον τῶν πλευμόνων καὶ πνευμόνων, ἤτοι τῶν συγγραμμάτων Αἰσχύλου, ἃ πρῶτον τῷ νῷ λογισάμενος καὶ τεκὼν εἶτα διὰ τοῦ πνεύμονος ἀναγαγὼν τῇ γλώσσῃ καὶ διαρθρώσας τῆς χειρὸς αὐτοῦ ὑπηρετησάσης τῇ

book 826a γλώττῃ τῷ γραφικῷ συνετάξατο δόνακι.

book 826b λίσπη] καὶ λεπτοτάτη.

book 827 γλῶσσα] τοῦ Εὐριπίδου.

book 830a οὐκ ἂν μεθείμην τοῦ θρόνου: οὐκ ἄν, φησὶν Εὐριπίδης, μεθείμην καὶ κατάλειψιν ποιησαίμην τοῦ θρόνου, ἤτοι οὐκ ἂν ἐάσω τὸ διαμάχεσθαι Αἰσχύλῳ περὶ θρόνου καὶ προεδρίας· μὴ νουθέτει, μὴ συμβούλευε μηδὲ παραίνει. τὸ σχῆμα δὲ τοῦτο καὶ ὁ ποιητικὸς τρόπος παρεπιγραφὴ λέγεται· φαίνεται γὰρ ἀνανεύων ὁ Διόνυσος καὶ κωλύων τάχα αὐτὸν τοῦ ἐπιχειρεῖν πρὸς Αἰσχύλον διαγωνίζεσθαι.

book 830b πρὸς Αἰσχύλον Εὐριπίδης.

book 830c τοῦ] περὶ τοῦ.

book 830d θρόνου] ἤγουν τῆς προεδρίας.

book 833 ἀποσεμνυνεῖται πρῶτον: ἀλαζονείαν πρῶτον καὶ ὄγκον τῇ σιωπῇ ἐπιδείξεται, ὅπερ ἐποίει καὶ ἐν τῇ σκηνῇ τοῦ θεάτρου τὰς τραγῳδίας διδάσκων. καὶ ὁ Διόνυσος ἐπιτιμῶν Εὐριπίδῃ φησίν· ὦ δαιμόνιε καὶ ἀθλιώτατε, σίγα καὶ μὴ λέγε λίαν μεγάλα· μέγα γὰρ ὄντως λίαν ἐστὶ τὸ σὲ κατὰ τοιούτου οὗδε ἀνδρὸς τολμᾶν λέγειν.

book 836 ἐγᾦδα τοῦτον: ἐγὼ οἶδα τοῦτον καὶ διέσκεμμαι πάλαι, ἤτοι διασκεψάμενος καὶ πολυπραγμονήσας καὶ κρίνας λογιστικῇ κρίσει εὗρον καὶ ἔγνων αὐτὸν ὄντα ἄνθρωπον ἀγριωπὸν ἢ καὶ ἀγριοποιόν, ἤτοι τὰ πρόσωπα τῶν ὑποκριτῶν ποιοῦντα δεινὰ καὶ ἀπροσόμιλα, καὶ ταῖς προσαγορεύσεσι καὶ προσλαλιαῖς μὴ εὐπρόσιτα. ἀλλὰ τὴν συνέπειαν πρῶτον, εἶτα δέον φράζειν με καὶ τὰς λέξεις. ἐγώ, φησίν, οἶδα τοῦτον ὄντα ἀγριοποιόν, αὐθαδόστομον, ἀπεριλάλητον, κομποφακελορρήμονα, ἔχοντα ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα. αὐθαδοστόμους τοὺς ἀναιδεῖς καὶ

book 836 φλυάρους φαμέν. μῶν δὲ καὶ τὸν Αἰσχύλον αὐθαδόστομον οὕτω καλεῖ; ἄπαγε· ἀλλὰ τὸν ἔχοντα στόμα φθεγγόμενον καινότερα καὶ αὐτῷ μόνῳ ἀρέσκοντα· καινοτέραις γὰρ ὁ Αἰσχύλος

κέχρηται λέξεσι. τὸ αὐτὸ δὲ δηλοῦσι καὶ τὸ “ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα”· οὐ δεσμεῖ γάρ, φησί, τὸ στόμα οὐδὲ κρατεῖ καὶ κατέχει, οὐδὲ πύλην αὐτῷ περιοχῆς περιτίθησιν, ὡς ὅσα μὲν δεῖ, φθέγγεσθαι, ἃ δὲ οὐ δεῖ, σιωπᾶν, ἀλλ’ ὅσα ἂν καινότερα θελήσῃ καὶ πλάσῃ, ταῦτα καὶ φθέγγεται. αὐθάδης γὰρ λέγεται ὁ αὐτὸς τοῖς λόγοις ἢ πράγμασιν, οἷς λέγει ἢ πράττει, ἑαδὼς καὶ ἀρεσκόμενος. τὸ κομποφακελορρήμονα εἶναι λέγειν Αἰσχύλον, ἐφερμηνευτικόν ἐστι τῶν τεσσάρων λέξεων, τοῦ “αὐθαδόστομον, ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα”. σημείωσαι δὲ τὸ “κομποφακε-

book 836 λορρήμονα”, τὸν κομπώδεσι καὶ ἀλαζονικοῖς χρώμενον ῥήμασι καὶ συνδεδεμένοις, ἢ νοῦν συνθολοῦν δυναμένοις· φάκελοι γὰρ αἱ κώμυθές τε καὶ δέσμαι τῶν ξύλων ἢ καὶ καλάμων ἢ ἄλλων τινῶν οὕτως εἰς ἓν συντεθέντων καὶ δεθέντων καλοῦνται· ὅθεν καὶ φάκελος λέγεται τὸ περὶ τὰς τῶν γυναικῶν κεφαλὰς καὶ ἀνδρῶν ἀρχικῶν ἐν ἑορταῖς βασιλεῖ παρεστώτων διάδημα· πολυέλικτον γάρ, ὡς ἴστε, κἀκεῖνο καὶ πολυσύστροφον. καὶ φάκελος μὲν τὸ συμπεπλεγμένον οὕτω· σφάκελος δὲ τὸ δύσνουν καὶ σκοτεινόν, ἀπὸ πάθους τινὸς γεγονότος περὶ τὸν ἐγκέφαλον.

book 839 ἀπεριλάλητον: ἀπεριλάλητός ἐστιν ὁ μὴ περιττὰ λέγων. πῶς οὖν τὸν Αἰσχύλον εἰπὼν αὐθαδόστομον, ἔχοντα στόμα ἀχάλινον, ἀκρατές, ἀπύλωτον, νῦν τἀναντία φησὶν εἶναι αὐτὸν ἀπεριλάλητον ἤτοι μὴ περιττὰ λέγοντα; προλαβὼν εἶπον, ὅτι αἱ τέσσαρες λέξεις, τὸ “αὐθαδόστομον, ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα” τὸ “ξενωτέρας λέξεις φθεγγόμενον” δηλοῖ, ὡς καὶ τὸ “κομποφακελορρήμονα” τοῦτο δείκνυσι. τὸ ὅλον δὲ τοιοῦτον όνδε ἐστίν· ἐγὼ οἶδα τοῦτον τοιόνδε καὶ τοιόνδε καὶ

book 839 ξενωτέραις χρώμενον λέξεσιν, ἀπεριλάλητον δὲ καὶ μὴ λέγοντα περιττὰ μηδὲ εὐτραπελίαν ἔχοντα λόγων. ταῦτα μὲν παραδρομῇ καὶ οὐχ ὡς Τζέτζης σοι γράφω διὰ μυρία τὰ αἴτια· τοῖς παλαιοῖς δὲ κότζια κόσσια μαθήσῃ προσέχων.

book 840 ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ: ἀρουραία θεὸς ἡ Δημήτηρ, τουτέστιν ἡ γῆ· νῦν δὲ ὁ Αἰσχύλος θυμωθεὶς Ἀριστοφάνει παράγεται καὶ διαλοιδορεῖται τὸν Εὐριπίδην λέγων· ἄληθες καὶ ἀληθῶς λέγεις τοιαῦτα γράφειν ἐμέ, ὦ παῖ τῆς ἀρουραίας θεοῦ, ἤτοι τῆς λαχανοπώλιδος υἱέ; τὰ λάχανα γὰρ ἐκ γῆς φύεται. ὁ Εὐριπίδης δὲ υἱὸς ἦν Μνησάρχου καπήλου καὶ Κλειτοῦς λαχανοπώλιδος λάχανά τε ἄλλα καὶ σκάνδικας πιπρασκούσης· οἱ δὲ σκάνδικες ἄγρια λάχανα. παιδίον ἔτι δὲ ὢν Εὐριπίδης ἐν σάκκῳ ταῦτα νωτοφορῶν ἐς τὴν ἀγορὰν τῇ μητρὶ ἀπεκόμιζεν· ὁ Αἰσχύλος δὲ γένους ἦν πρώτου τῶν Ἀθηναίων καὶ τοὺς πρὸς γένους εἶχε λόγοις καὶ

book 840 στρατηγίαις κομῶντας.

book 841 στωμυλιοσυλλεκτάδη: φλυάρους λόγους καὶ λάλους συλλέγων καὶ γράφων.

book 842 πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη: ταυτὶ τῶν δήλων καὶ πασιγνώτων ἐστίν, ὡς Εὐριπίδης ἄρχουσι. στρατηγοῖς, βασιλίσσαις καὶ βασιλεῦσιν, ἠθικὸν τούτων μὴ φυλάττων ἀξίωμα, πτωχικά τε ῥάκια προσάπτει καὶ πήρας καὶ σκολιοῖς σκίπωσιν ἐπερειδομένους εἰσάγει.

book 843a ἀλλ’ οὔ τι χαίρων αὐτ`’ ἐρεῖς: “αὐτὰ” τὸ ἐντελὲς ἦν, καὶ πάλιν εἰς τὸ “τ`’ἐρεῖς” ποίησον εἰς τὸ ταῦ τὴν βαρεῖαν, καὶ ἅμα τὴν ἀπόστροφόν τε καὶ ψιλήν. εἰ δὲ τὸ “αὐτὰ” “αὗτα” βούλει λέγειν ἀττικῶς καὶ προπερισπᾶν, δάσυνε καὶ τὴν αὖ συλλαβήν. διὰ τὴν περὶ ἡμᾶς ὑμῶν ἀχάριστον γνώμην καὶ τὸ μὴ ἐξ[αρκεῖν] τοὺς χάρτας εἰς ἐπεξήγησιν καὶ ἕτερα δὲ μυρία, καὶ ὅτι τοιαύτας κατατετμημένας ἐννοίας καί, εἰ μὴ φορτικὸν εἰπεῖν, φλυάρους ἐπεξηγεῖσθαι οὐ βούλομαι τζετζικῶς, ὡς εἰ Ὅμηρον νῦν ἦν ἐξηγούμενος ἢ κἂν ἔπη Ἐμπεδοκλέους· ἐῶ δὲ πάμπολλα. μειδιῶ δὲ τὰ τῶν παλαιῶν βλέπων, καὶ τῷ μηδὲν ὁρᾶν ἐπάξιον συγγραφῆς ἀνθρώπων σοφῶν φημι· “ἆρα τοιοῦτοι καὶ τοσοῦτοι ἄνδρες σοφοὶ κοιμώμενοι τοῦτον ἐπεξηγοῦντο;” σὺ δὲ ὁ γενναιότατος, ὁ καὶ παρ’ ἄλλοις ἐφευρηκέναι λέγων τὰ ἐμοὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 843a ἑβραϊκοῖς καὶ ἄλλοις συγγράμμασιν ἐπεξηγημένα, ἃ οὔτε Ἑβραῖος οὔτε ἄλλος ἀλλογενὴς ἐν βίβλοις οἰκειεθνέσιν οὐδὲ “δαίμων ὀρθῶς ἂν ἴσχυσεν ἐξειπεῖν”, αὐτὸς δὲ μόνος δαιμονίως ἐξηγησάμην, πολλῷ μᾶλλον ἐν τοιούτοις συγγράμμασιν οὖσι πανδήμου καὶ κατημαξευμένης ἐννοίας εὑρήσεται. καὶ ἀνεκτὰ μὲν ἴσως ταυτί· τοῦτο δὲ ποίων γελώτων οὐκ ἔστιν ἐπάξιον; τίς γὰρ ἄνθρωπος ἐμβριθὴς οὕτω, στυγνὸς καὶ ἀγέλαστος, Τελαμών, Ἀγλαϊτάδας, Πυθαγόρας, Παμβώ, καὶ εἴ τις ἕτερος εἶναι τοιοῦτος ἱστόρηται, ὃς οὐκ ἂν διάρρυτον καὶ κεχυμένον καὶ ἀκρατὲς ἐξεγέλασεν ἀκηκοώς, ὅτι λόγον παραμυθητικὸν καὶ παρήγορον ὑπαναγινώσκοντός ποτε Τζέτζου, θελχθεὶς σὺ τούτου κόμμασι μηδὲν μὲν ἔχουσι νόημα, τροπικαῖς δὲ 〈καὶ〉 ἀνθηραῖς μόνον περιπεπλεγμένοις ταῖς λέξεσι, καὶ ὑφελέσθαι καὶ σφετερίσασθαι ταῦτα γεγονὼς κατεπίθυμος, πρὸς ἡμᾶς

book 843a ἀπεφθέγξω ἠρέμα, “ὑπαὶ δὲ ἴδεσκες” τὸ σεμνὸν ἐκεῖνο καὶ ἰθακήσιον “ζάκοτον, κατὰ χθονὸς ὄμματα πήξας”· “οὕτω τοῦτο κἀγὼ ποιῶν ἐμαῖς γραφαῖς ἐξεθέμην αὐτολεξεί”. οἶμαι δὲ τῇ δευτέρᾳ ἀναγνοὺς ἀναγραφῇ ἐξέθου τὸν λόγον, ὃν φής, καὶ λέξεις ἐμὰς τὰς περιηνθισμένας ἐκείνας καὶ τροπικάς, ἢ μᾶλλον τὰς σάς, ἃς ὁ Τζέτζης ἀναιδῶς ἐσφετερίσατο καὶ ἐσύλησεν. “ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ” καὶ “ῥήξατε τὰ ὄρη φωνήν”, εἰ τοιούτους εἰκὸς εὐεργετεῖν ἀφθόνως, ὡς πρίν, ἐστίν. καὶ γὰρ πείθομαι πρώτοις ἀνδράσι καὶ

book 843a βίῳ καὶ λόγῳ, πολλάκις αἰτιασαμένοις καὶ λέγουσιν ἐμοὶ “ἐξονομακλήδην”· “χαλεπὸν διαπράττῃ πρᾶγμα, ὦ βέλτιστε, ἀπονητὶ λυσιτελῶν εἰς πολλὰ σοῖς τοῖς συγγράμμασιν”. ἡ δὲ τῶν σοφῶν ἐκείνων αἰτίασις αἴτησις ἦν οὐ μετρία, ὡς τὸ κατηφές τε τοῦ προσώπου καὶ τὸ ἠρεμοῦν τῆς τούτων φωνῆς ὑπεσήμαινεν· ὄντως γὰρ οἱ ἄνδρες ἦσαν σοφοὶ καὶ τῶν μελλόντων προΐστορες. πόσων γὰρ τοῖς ἐμοῖς ὠφελημένων συγγράμμασι, πάρεξ δύο τινῶν ἢ τριῶν εὐγενῶν τῇ ψυχῇ, οἱ πάντες ἐμοὶ ἀγνωμονέστατοι καὶ ἀχάριστοι. ὁ μὲν γὰρ τῷ εἰπεῖν τι τῶν ἐμῶν εὐδοκιμηκὼς Τζέτζου ἢ τζετζικῶν συγγραφῶν σχεῖν τοῦτο εἰπεῖν οὐκ ἐθέλει, φησὶ δέ πη εὑρηκέναι· οἱ μετριώτεροι δὲ εἰς θείου αὐτῶν συγγραφὰς εὑρεῖν τοῦτο λέγουσιν· ἡ θεία δὲ τότε σύνοιδε φύσις, τίνα θεῖον οὗτοι καλοῦσι. καὶ ταῦτα μὲν “υἱοὶ ἀλλότριοι”· οὓς δὲ “ἐγέννησα καὶ ὕψωσα” τοιαῦτά μου κατα-

book 843a φλυαροῦσιν. ἀλλ’ ἕνεκα τούτων ἵλεως εἴη τούτοις Θεός· ἐγὼ δὲ τῆς τοσαύτης δυστροπίας αὐτῶν οὔτε κατὰ Τζέτζην οὔτε ἄλλως ἐπεξηγήσομαί τι· ἀρκεῖ δέ μοι καὶ μόνον ἀνακαθᾶραι τῶν ἑξήκοντα συγγεγραμμένων μοι βίβλων τὰς ἔτι ἀμυδρὰς οὔσας ἐν σχεδαρίοις.

book 843b τοῦτο προσφυὲς ἦν τῷ πρωτοτύπῳ τετραδίῳ· ἐν τούτῳ δὲ πυκνώσαντες τὴν γραφὴν καὶ τὸ γράμμα λεπτύναντες περιελάβομεν πᾶν.

book 846a τὸν χωλοποιὸν: νῦν μόνα τὰ τῶν παλαιῶν σοι λεκτέον, ἵνα τά τε ἀπολελειμμένα σχόλια τοῦ πρὸ τοῦδε τετραδίου καὶ τὰ τῆσδε σελλίδος ἐνταῦθα συμπερικλείσωμεν.

book 846b τὸν χωλοποιὸν: διὰ τοὺς τρεῖς· Βελλεροφόντην, Φιλοκτήτην, Τήλεφον.

book 849 ὦ κρητικὰς μὲν συλλέγων μονῳδίας: τὰ τῶν παλαιῶν ἀκούων, ὡς κἂν τῷ ῥηθέντι περὶ τοῦ Τυφῶνος σχολίῳ, ἐξερᾶν βούλομαι· ῥητέον δὲ καθ’ ἡμᾶς πάνυ βραχέως. ὦ κρητικὰς πράξεις αἰσχρὰς συλλέγων καὶ γράφων, ἀξίας οὔσας μονῳδιῶν καὶ θρήνων, τῆς Πασιφάης τὴν πρὸς ταῦρον μίξιν, τῆς Ἀριάδνης, τῆς Φαίδρας, τὰ ἕτερα.

book 852a χαλαζῶν: νῦν τῶν καταφορικῶν λόγων.

book 852b ἀπὸ τῶν χαλαζῶν] ἀπὸ τῶν σφοδρῶν λόγων, συνεχῶν.

book 854 ἵνα μὴ κεφαλαίῳ: ἁδρῷ καὶ μεγάλῳ ῥήματι θένων καὶ τύπτων ὑπὸ ὀργῆς καὶ θυμοῦ. τῷ μὲν φαινομένῳ φησίν· ἐκχέῃ καὶ διαταράξῃ καὶ καταρρήξῃ τὸ δρᾶμα τὸν Τήλεφον, τὸ τῷ δ’ ἐν σχήματι· ἵνα μή σου τὸν ἐγκέφαλον ἐκχέῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 856 πραόνως] καὶ πραέως.

book 859 ὥσπερ πρῖνος: ὅτι ὁ πρῖνος καιόμενος ψόφον ποιεῖ.

book 868 ὅτι ἡ ποίησις οὐχὶ συντεθνηκέ μοι: Εὐριπίδῃ γὰρ τεθνηκότι συναπέθανε καὶ τὰ δράματα καὶ ἡ ποίησις αὐτοῦ· οὐκέτι γὰρ ἐν θεάτρῳ ἀνεγινώσκετο· τὰ δὲ Αἰσχύλου καὶ μετὰ θάνατον ἐψηφίσαντο ᾄδεσθαι. φησὶ δὲ δῆθεν Αἰσχύλος, ὅτι αὐτῷ συναπέθανε καὶ ἡ ποίησις καὶ σύνεστιν αὐτῷ κἂν τῷ Ἅιδῃ, καὶ ἕξει καὶ δυνηθείη λέγειν, ἔχων αὐτὴν δηλονότι σύμμαχον.

book 874 ὑμεῖς δὲ ταῖς Μούσαις: πρὸς τὸν χορόν φησιν ὁ Διόνυσος· ὑμεῖς δὲ ταῖς Μούσαις ᾄσατε.

book 875 παρθένοι] ἀντὶ τοῦ “θυγατέρες.”

book 877a ὅταν εἰς ἔριν ἔλθωσιν ἀντιλογοῦντες ἐν στρεβλοῖσι παλαίσμασιν ὀξυμερίμνοις, τοῖς ὀξείας καὶ τμητικὰς καὶ ἐπιπόνους ὀδύνας ἔχουσι· πικρὰ γὰρ τῆς παιδείας ἡ ῥίζα, καθὼς Ἰσοκράτης ἐγνωμολόγησεν.

book 877b ἀνδρῶν γνωμοτύπων] τῶν ταῖς γνώμαις ἀλλήλους τυπτόντων.

book 879a ἔλθετ’ ἐποψόμεναι δύναμιν: ἔλθετε, ὦ Μοῦσαι, ἐποψόμεναι καὶ μέλλουσαι γνῶναι δύναμιν δεινῶν καὶ δεξιῶν καὶ σοφῶν στομάτων, τοῦ Αἰσχύλου δηλονότι καὶ Εὐριπίδου. τὸ δὲ “ὀψόμεναι” ἀντὶ τοῦ “γνῶναι μέλλουσαι” μετάληψίς ἐστι· “νοῦς” γὰρ “ὁρῇ καὶ νοὺς ἀκούει”, ὥς φησιν ὁ Ἐπίχαρμος.

book 880 ἔλθετε, ὦ Μοῦσαι, πορίσασθε ἢ πορίσατε καὶ παράσχετε ῥήματα μὲν καὶ ὑψηλοὺς λόγους, τῷ Αἰσχύλῳ δηλονότι· παραπρίσματα δὲ ἐπῶν καὶ λεπτεπιλέπτους εὐτελεῖς καὶ ἀχρησίμους λόγους τῷ Εὐριπίδῃ. τὸ “πορίσασθαι” ἢ οὕτως ἀντὶ τοῦ “πορίσατε”, ἢ πορίσασθε, δέξασθε, λάβετε ἐξ ἑκατέρου τούτων, ἃ ἔφημεν.

book 881 παραπρίσματ’] λεπτά.

book 886 Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα: Ἐλευσίνιος ὢν τῶν δήμων ὁ Αἰσχύλος οὕτως εὐλόγως φησίν· ἐτιμᾶτο γὰρ ἡ Δημήτηρ ἐν Ἐλευσῖνι. ὁ δὲ νοῦς· ὦ Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα, ἤτοι ἧς τῷ φίλῳ τεμένει καὶ κλήρῳ τῇ Ἐλευσῖνι ἐγεννήθην, ἐτράφην καὶ ἐπαιδεύθην τὴν λόγων παιδείαν, εἶναί με τῶν σῶν ἄξιον μυστηρίων· ἐλλιπῶς ἀττικῶς ἀντὶ τοῦ “ποίησον” ἢ “δὸς” ἢ “φύλαξον” ἤ τι τοιουτότροπον ἄλλο.

book 888a καλῶς: ἢ ὡς τοῦ Διονύσου εἰπόντος· ἐπίθες καὶ σύ, Εὐριπίδη, λιβανωτόν, καὶ ἀρώσας καὶ θυμιάσας, ὡς νόμιμον, πρόσευξαι τοῖς θεοῖς, φησὶ τὸ “καλῶς”, λέγεις δηλονότι· ἢ τὸ “καλῶς” εἶπεν, ἤγουν καλῶς ηὔξατο ὁ Αἰσχύλος, εἰρωνευόμενος καὶ ἀποπεμπόμενος τὴν πρὸς τὴν Δήμητραν προσευχήν, ὅπερ καὶ σαφέστερον ὁ παρακατιὼν στίχος ἡμῖν ὑποδείκνυσιν. ὅτι δὲ οἱ παραιτούμενοί τι καὶ μὴ θέλοντες τὸ “καλῶς” ἔλεγον, ἤκουσας ὄπισθεν, οὗ τὸν Ξανθίαν φέρει “καλῶς” εἰπόντα τῇ θεραπαίνῃ τῆς Περσεφόνης τῇ πρὸς ἑστίασιν τοῦτον καλούσῃ, ἀντὶ τοῦ “οὐ βούλομαι” “οὐκ εἰσέρχομαι”. νῦν δέ· οὐ θύω καὶ προσεύχομαι τῇ Δήμητρι· ἑτέροις γὰρ εὔχομαι θεοῖς.

book 888b λιβανωτὸν] τὸν καρπόν.

book 889 ἕτεροι γάρ εἰσιν: τοῖς τῶν ἀλιτηρίων ἐβουλόμην τρόποις μόνα τὰ τῶν παλαιῶν γράφειν καὶ ὡς ἐκεῖνοι αὐτὰ γράφουσιν· Ἕκτωρ δ’ ἂν εἶπεν οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός. “ἕτεροι γάρ εἰσιν: ᾇτε δὴ Σωκρατικός”, φασὶν οἱ παλαιοί, “καινὰ δαιμόνια ἔπλασεν”. οἱ παλαιοὶ οὗτοι τριακοσίους τριάκοντα ὅλους ἐνιαυτοὺς Εὐριπίδου μὴ ὑστερίζοντες Ἀναξαγόρου μαθητὴν ὄντα τὸν Εὐριπίδην καὶ μιᾷ γενεᾷ Σωκράτους ὄντα πρεσβύτερον, κἂν οὐκ ἦν λειτουργῶν τῇ ἐκκλησίᾳ Σωκράτους, μαθητὴν Σωκράτους νομίζουσι καὶ τοιαῦτά φασιν· ἡμεῖς δέ, ὧν τὰ καινότερα ὁ σοφὸς οὗτος εὑρίσκει παρ’ ἑτέροις λεγόμενα, οἶμαι πολλῷ πολὺ δὲ ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ γνωριμώτερα, κἂν τούτους διέλαθε, φαμέν, ὅτι ὡς ἰδιώτην τὸν Εὐριπίδην κωμῳδῆσαι θέλων ὁ κωμικὸς προκαταστά-

book 889 σει χρῆται λεγούσῃ· ἕτεροί εἰσιν, οἷς εὔχομαι θεοῖς ἐπεὶ δὲ τὸ κεχωρισμένον καὶ ξενώτερον τοῦ κοινῶς πραττομένου ἢ λεγομένου ἴδιόν φαμεν καὶ ἰδιωτικόν, πρῶτόν φησι πρὸς αὐτόν· ἴδιοί τινές σοι, κόμμα καὶ χάραγμα καὶ νόμισμα καινὸν καὶ ξενώτερον· προσεύχου λοιπὸν τοῖς ἰδιώταις θεοῖς σου.

book 892 αἰθὴρ ἐμὸν βόσκημα: οἱ παλαιοὶ πάλιν, οἷα καὶ ἀνωτέρω, φασίν· ἡμεῖς δὲ κακεντρεχῶς λέγομεν τὸν ἀλιτήριον κωμικὸν ἐπεμβαίνειν τῷ ἀθλίῳ Εὐριπίδῃ καὶ θέλοντα δεῖξαι τὸν ἄνθρωπον πάνυ ἰδιωτικώτατα γράφοντα συνθεῖναι τὸ ἀσυμβίβαστον τοῦτο μίγμα τοῦ λόγου, τὸ “ὦ αἰθήρ, ἐμὸν βόσκημα” καὶ τροφεῦ, ἐκ τοῦ “βοσκῶ” περισπωμένου ῥήματος, καὶ “στρόφιγξ” καὶ συστροφὴ τῆς γλώττης ἤτοι εὑρεσιέπεια, καὶ φρόνησις, καὶ ῥὶν ὀσφραινομένη—λείπει τὸ “ποιήσατε”— ὀρθῶς μ’ ἐλέγχειν, ὧν ἅπτομαι λόγων.

book 897a ἐμμέλειαν: οἱ παλαιοὶ μὲν “καταχρηστικῶς νῦν τὴν εὐρυθμίαν. κυρίως δὲ ἡ μετὰ μέλους ὄρχησις τραγική· οἱ δὲ ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις”. κατάχρησιν μὲν τοῦτο καλοῦσι καὶ τὰ τοιαῦτα τοιοῦτοι πύρινοι ἄνδρες καὶ οἱ προγενέστεροι τούτων οἱ τὰ τοῦ θείου Ὁμήρου σχολιογραφήσαντες λεξιγραφήσαντες καὶ πάντες οἱ ἀπ’ αἰῶνος σχεδόν· ἡμεῖς δὲ τὰ τοιαῦτα πάντα τὰ παρὰ τὴν συνήθειάν τισι χρώμενα παραχρήσεις φαμέν, καταχρήσεις δὲ λέγομεν τὸ κατακόρως τινὰ καὶ πλειστάκις χρῆσθαί τισιν ἢ λόγοις ἢ πράγμασιν. ἡμεῖς μὲν ἁπανταχοῦ μυρία τοιαῦτα τῶν παλαιῶν ἐπανορθοῦμέν τε καὶ ἐπεξηγούμεθα, ἃ καὶ ὑμεῖς, δοκῶ, οἴδετε, ὡς παρά τισιν ἑτέροις πλὴν ἡμῶν οὐκ ἐρρήθησαν· μόνος δ’ οὗτος τὰ τοιαῦτα εὑρίσκει παρ’ ἑτέροις λεγόμενα καί τις ἕτερος τουτῳῒ ὁμοιότροπος, οὗ καὶ βραχύ τι ἐνόρκως διηγητέον μοι τῷ μὴ δοκεῖν

book 897a ὑμᾶς ἐμὲ τοῦτο λέγειν ἀστεϊζόμενον. Ἀριστοφάνους βίβλον μιᾷ φωνῇ πολλοῖς ἐφηρμήνευον· καὶ τὰ μὲν ἄλλα ἐῶ· λέγων δέ τι τῶν καθαρῶς καὶ ἰδίως ἐμῶν τοῖς ἀκροωμένοις· “τοῦτο ἐμόν ἐστιν” ἔλεγον. εἷς δέ τις αὐτῶν οὕτως εἶπεν ἔχειν καὶ τὴν αὐτοῦ βίβλον· καὶ ἅπαξ μὲν καὶ δὶς ἀκούσας αὐτὸ οὐ μικρῶς ἠνιάθην, εἰ Τζέτζης λέγων ὡς ἑαυτοῦ τὰ ἀλλότρια οὐ συνίησιν. ὡς δὲ σύμπαντα καθεξῆς τὰ κεχωρισμένα καὶ ὄντως ἐμὰ ἔλεγε τὴν βίβλον ἔχειν τὴν ἑαυτοῦ, νομίσας τινὰ τῶν ἐμῶν γράψαι ταυτὶ τῷ βιβλίῳ ζητῶ καὶ

book 897a λαμβάνω τοῦτο εἰς χεῖρας· καὶ μὰ τὴν τοῦ Θεοῦ ἀψευδεστάτην ἀλήθειαν, Ἀριστοφάνους οὐκ ἦν τοῦτο βιβλίον, Εὐριπίδου δὲ ἢ Ὀππιανοῦ. ὡς δ’ ἀποστοματίζειν ἄρχομαι τὰ ἐκεῖ γεγραμμένα, τοῖς μὲν ὁμιληταῖς “ἄσβεστος ὦρτο” γέλως, ἐγὼ δὲ “τῆς κακομηχανίας ἐμυσάχθην” τὸ κάθαρμα πολλῷ πλέον, ἤπερ ὁ Φάλαρις τὸν Περίλαον, ὁπότε οἱ τὸν ταῦρον ὑπέδειξεν ὑπέθετό τε, πῶς ἀνθρώπους ἐν αὐτῷ χρὴ πυρακτοῦν, ὀδυνηρὸν δὲ βοώντων ἐκείνων αὐλεῖν μὲν διὰ τῶν μυκτήρων τὸν ταῦρον, “αὐτὸν δὲ τέρπεσθαι καταυλούμενον”. τοιαῦτα ἡμῖν εἰσι παρὰ τῶν εὐεργετημένων αἱ ἀμοιβαί· ὧν ἕνεκα καὶ τοῦ μὴ φροντίδα νῦν εἶναι λόγων γενναίων, μυρίας βίβλους συγγεγραφέναι δυνάμενος, μόλις ἑξήκοντα καταλείπω, εἰ τὰς σχεδίους τέως ἀνακαθάραιμι, πανδήμου τε Μούσης καὶ ἰαμβίδος, καὶ ἡρωΐδα μίαν καταλογάδην τε ἐξηγήσεις βραχείας.

book 897b δαΐαν ὁδόν: ἀγωνιστικήν, ἔμπειρον, ἀπὸ τοῦ “δαῆναι”· ἢ φιλόνεικον.

book 901 ἀστεῖον: πολιτικόν, δημῶδες. “καὶ κατερρινημένον: ἐξεσμένον· ῥίνη γὰρ ἐργαλεῖον τεκτονικόν, ᾧ ῥινοῦσιν· ἢ εὐτελές, ὅτι ἐξευτελίζομεν τῇ ῥίνῃ”.

book 902 “αὐτοπρέμνοις: δυσκόλοις, προρρίζοις· ἢ μεγάλοις”. ταῦτα κατὰ ῥητόν εἰσι τῶν παλαιῶν· διὰ τοῦτο καὶ ἐκτὸς τὰς κορωνίδας παρεγγράφω· καὶ τὰ λοιπὰ ἐκ τῶν παλαιῶν νόει. μάταιος γὰρ ἂν εἴην καὶ ἀνάλγητος ἄνθρωπος, εἴπερ αὐτὸς μὲν ἱδρῶσι καὶ πόνοις γράφω πολλὰ συντελῆ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ λυσιτελέστατα, ὡς κἂν βραχείας ἐπιτυχὴς γινοίμην εὐχαριστίας, σὺ δὲ πολύ μοι ἐναντίας ἀντιδίδως τὰς ἀμοιβάς. τὰ παραλειφθέντα τούτοις καὶ ἅ φασι, σὺ νοεῖς.

book 911a κάθισεν ἐγκαλύψας: πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα, φησὶν ὁ Ἀσκραῖος· ἡμεῖς δὲ διὰ σοφοῦ ἀβελτηρίαν ἑνὸς οὐκ ἐάσαιμεν πάντῃ τὸν ἕρπητα τοῦ κακοῦ καὶ εἰς ἀναιτίους ἑτέρους ἐγκατασκῆψαι, ἐκ μέρους δέ, καὶ οὐ τζετζικώτερον, ὡς οἷόν τε τούτοις βοηθητέον.

book 911b κάθισεν ἐγκαλύψας: Εὐριπίδης κατηγορῶν δῆθεν ὡς ἀλαζόνος Αἰσχύλου φησίν· ἐκάθισεν ἄν τινα τῶν ὑποκρινομένων Ἀχιλέα ἢ Νιόβην εἰς πρόσχημα καὶ μίμημα καὶ τύπον τραγῳδίας· ἐκάθισε δὲ κεκαλυμμένους καὶ κεκρυμμένους τὰ πρόσωπα, γρύζοντας καὶ φθεγγομένους οὐδὲ τουτί—ἢ τοῦτο τὸ λεγόμενον γρῦ, ἢ συνάξας τῆς χειρὸς τοὺς δακτύλους—οὐδὲ τουτί, φησίν, οὐδὲ τοῦτο τὸ μικρὸν ἤτοι οὐδόλως φθεγγομένους. νῦν δὲ σαφεστάτου πάνυ τοῦ κειμένου τελοῦντος, ὅτι

book 911b ἐκάθισεν ὁ Αἰσχύλος Ἀχιλέα ἢ Νιόβην μηδὲν φθεγγομένους, οἱ παλαιοὶ παρέχοντες τὰ ἑρμηνείας δεόμενα ἐφερμηνεύουσι μᾶλλον ἑρμηνείαν συμπεφυρμένην καὶ θόλωσιν, ἣν ταῖς αὐτῶν παρεγγραπτέον μοι λέξεσιν. “ἐγκαλύψας: ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασί τινα κεκαλυμμένον· καὶ Ἀχιλεὺς καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ’ Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λουτροῖσ”—ἐμοὶ δὲ δοκεῖ “λύτροισ”— ”· οὐδὲν δὲ ὁ Ἀχιλεὺς φθέγγεται. ἄλλως: εἰκὸς τὸν ἐν Φρυξὶν Ἀχιλέα ἢ Ἕκτορος λουτροῖς, λύτροις ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται”. τοιαῦτα οἱ παλαιοί, οὗ χρεὼν σιωπᾶν, φθέγγονται, σιωπῶσι δ’,

book 911b οὗ λέγειν χρεών· καὶ οὗ λέγειν χρεών, ἃ λέγουσιν, ὁράτω τις καὶ κρινέτω.

book 914 μὰ τὸν Δι’ οὐ δῆτα: Εὐριπίδου εἰπόντος μηδὲ τὸ σμικρὸν φθέγγεσθαι τοὺς ὑπ’ Αἰσχύλου ἱδρυθέντας εἰς Ἀχιλέως τύπον ἢ καὶ Νιόβης, φησὶν ὁ Διόνυσος αὐτῷ συνομολογῶν· οὔ μὰ τὸν Δία, οὐ δῆτα καὶ οὐ δὴ ἐφθέγγοντό τι. καὶ πάλιν ὁ Εὐριπίδης· ὁ δὲ χορὸς ἂν ἐφεξῆς στάσεις μελῶν ὑπορχηματικῶν εἶπε τέσσαρας· οἱ δ’ ἐσιγῶν, Ἀχιλεῖς ἢ Νιόβαι. καὶ ὁ Διόνυσος πάλιν· ἐγὼ δ’ ἔχαιρον τῇ τούτου σιωπῇ καὶ ἦν τοῦτό με τέρπον, ἢ νῦν οἱ λαλοῦντες, ἤτοι παρὸ σὺ νῦν φλυαρῶν.

book 917 ἠλίθιος γὰρ καὶ ἀνόητος, φησίν, ὑπῆρχες· καὶ ὁ Διόνυσος· καὶ ἐμαυτῷ δοκῶ, ἤτοι κἀγὼ ἐμαυτὸν εἶναι τοιοῦτον νομίζω. τί δὲ ταῦτ’ ἔδρασεν ὁ δεῖνα, ἤτοι ὁ Αἰσχύλος;

book 921 ὦ παμπόνηρος: ὁ Αἰσχύλος, οἷα καὶ πῶς ἐφενακιζόμην καὶ ἠπατώμην.

book 922 τί σκορδινιᾷ: θυμοῦται δῆθεν ὁ Αἰσχύλος καὶ ἀκουσίως ἐκτείνει τὰς χεῖρας καὶ ὑποτρύζει τοὺς ὀδόντας ἀκούσας ἐκεῖνα. τοῦτο γάρ ἐστιν, ὅ φαμεν σκορδινιᾶσθαι.

book 924 βόεια: μεγάλα, ἀπὸ τοῦ “βοός”.

book 925 ὀφρῦς ἔχοντα καὶ λόφους: δεινὰ καὶ καταπλήττοντα. μορμορωπά: φοβερά.

book 926a ἄγνωτα τοῖς θεωμένοις: ἀπὸ τοῦ “ἄγνωτος”· οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ “ἀγνώς” εἰς οὐδέτερον γένος, ὥς φησιν Ἡρωδιανός.

book 926b τοῖς θεωμένοις: τοῖς ἐν τῷ θεάτρῳ, τοῖς θεαταῖς, ὧν τινες καὶ ἀκουσταὶ τῶν λεγομένων ἐγίνοντο.

book 927 μὴ πρίε τοὺς ὀδόντας: παρεπιγραφὴ τὸ σχῆμα· πλάττεται γὰρ ὁ Αἰσχύλος ὀργιζόμενος καὶ πρίων τοὺς ὀδόντας, ἐφ’ οἷς παρ’ Εὐριπίδου ἀκούει. πρίω δὲ τὸ “συγκρούω τοὺς ὀδόντας” ἀπὸ τοῦ “πρίω” τὸ “πριονίζω”.

book 928a ἀλλ’ ἢ Σκαμάνδρους ἢ τάφρους: τοιαῦτα γὰρ ὁ Αἰσχύλος γράφει ταῖς τραγῳδίαις· ὄρη, ποταμούς, λόφους, χαράδρας, ταφρείας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 928b ἢ ’π’ ἀσπίδων ἐπόντας γρυπαιέτους: ἢ ἐπὶ τῶν ἀσπίδων ὄντας γρυπαιέτους ἐλατοὺς ἐκ χαλκοῦ. γρυπαιέτους δὲ ἢ “γρυποὺς ἀετούς”, ἐπικαμπῆ τὰ ῥάμφη ἔχοντας, ἢ “γρῦπας ἢ ἀετούς”· οὐ μὴν δὲ “γρῦπας ἀετούς”.

book 929 ῥήμαθ’ ἱππόκρημνα: μεγαλόκρημνα καὶ πολλὴν ἀσάφειαν ἔχοντα, παρακεκινδυνευμένα καὶ δυσνόητα.

book 931 ἐν μακρῷ χρόνῳ νυκτὸς: ἐν ταῖς μακραῖς χειμερίαις νυξὶ διηγρύπνησα ζητῶν καὶ θέλων νοῆσαι τὸν ξουθὸν ἱππαλεκτρυόνα, τίς καὶ ὁποῖος ὄρνις ἐστίν. ἐν νυξὶ δὲ καὶ οὐκ ἐν ἡμέραις σκοπεῖ, ὅτι διὰ τὴν τῶν θορύβων ἐν νυξὶν ἠρεμίαν αἱ ψυχικαὶ δυνάμεις ὀξύτεραι πρὸς νοητῶν ἀντιλήψεις· ὅθεν ἀρίστως καὶ Φωκυλίδης φησὶ νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν· ξουθὸν δὲ τὸν ξανθόν, ἀντιβολῶ μηδένα νοῆσαι ἢ λέγειν ποτέ, ἀλλὰ κυρίως ξουθὸν τὸν ἐξιανθὸν καὶ ἐπὶ τὰ ἄνθη ἐξερχόμενον, ἐκ μεταφορᾶς τῶν μελισσῶν.

book 934 ἐγὼ δὲ τὸν Φιλοξένου: Ἔρυξίν τινα υἱὸν Φιλοξένου διαβάλλει ὡς τερατόμορφον καὶ ἀσυμμελῆ. καὶ φέρει τὸν Διόνυσον λέγοντα· ἐγὼ δὲ ἀκούων ἱππαλεκτρυόνα τὸν Ἔρυξιν ἐνόουν.

book 935 “κ`ὀλεκτρυόνα” γράφουσι τὸ ο μικρόν· ἐγὼ δὲ “κ`ᾠαλεκτρυόνα” γράφω κιρνῶν τὰ β′ α εἰς ἄλφα μακρὸν καὶ τὸ ι προσγράφων ἢ “κ`ὠλεκτρυόνα” διὰ τοῦ ω μεγάλου.

book 938 ἐν τοῖς παραπετάσμασι τοῖς μηδικοῖς: παραπετάσματα μηδικὰ καὶ περσικὰ ὑφάσματά εἰσιν ὑφαπλούμενα πρὸ τῶν ἀρχικῶν θυρῶν καὶ ταύτας ἐπικαλύπτοντα, ἔχοντα μορφὰς ξενοφυῶν ζῴων καὶ ἐκτραπέλων, πολλὰς δὲ καὶ συνθέτου φύσεως.

book 939 ἀλλ’ ὡς παρέλαβον τὴν τέχνην: τὴν τραγῳδικὴν δηλονότι, οἰδοῦσαν καὶ ἐπηρμένην ὑπὸ κομπασμάτων καὶ τύφου καὶ ῥημάτων φορτικῶν, ἴσχανα καὶ ἐλέπτυνα αὐτήν. ἰατρικωτέρᾳ ὁ ἀλιτήριος χρᾶται τροπῇ καί φησι· νοσοῦσαν αὐτὴν καὶ ὑδεριᾶσαι τρόπον τινὰ κινδυνεύουσαν καὶ ἐξωγκωμένην, ἴσχανα καὶ ἐλέπτυνα πρῶτον τρόπον τινὰ λεπταῖς διαίταις, λογυδρίοις, ἤτοι λόγοις εὐτελέσι καὶ ἀγοραίοις, καὶ περιπάτοις, διατριβαῖς καὶ γυμνασίοις τάχα, μικροῖς. ὡς ἐπὶ νόσου μὲν ταῦτα·

book 939 πρὸς πρᾶγμα δὲ οὕτως· οὐκ ἐῶν ἀμετακινήτους καθῆσθαι τοὺς μιμουμένους Ἀχιλέα, Νιόβην, ἢ ἕτερον ἴσχανα τοῖσδε καὶ τοῖς τευτλίοις καὶ ἁπλῶς λαχάνοις λευκοῖς. διασύρει δὲ αὐτὸν ὡς ὄντα παῖδα λαχανοπώλιδος καὶ στωμύλον καὶ φλύαρα λέγοντα.

book 944a εἶτ’ ἀνέτρεφον Κηφισοφῶντα: κωμῳδεῖ τὸν Εὐριπίδην καὶ ὡς ἀδικούμενον ἐπὶ τῇ γυναικὶ παρὰ Κηφισοφῶντος, ὃς Κηφισοφῶν δοῦλος ἦν Εὐριπίδῃ, διπλῆν δὲ αὐτῷ συνεποίει τὴν τραγῳδίαν, μάλιστα δὲ τὰ μέλη.

book 944b εἶτ’ ἀνέτρεφον: εἶτα ἀνέτρεφον, φησί, τὸν Κηφισοφῶντα μιγνὺς αὐτὸν καὶ συγκοινωνὸν ἐμοὶ ποιούμενος ἐν ταῖς μονῳδίαις.

book 945 ἔφυρον: καὶ τὸν Αἰσχύλον ὁ ἀλιτήριος λάθρᾳ κωμῳδεῖ ὡς τὰς ὑποθέσεις φύροντα τῶν δραμάτων.

book 946 ἀλλ’ οὑξιὼν: ὁ ἀφηγούμενος τὴν ὑπόθεσιν.

book 947 κρεῖττον γὰρ ἦν σοι: εἰπόντος Εὐριπίδου· ἀλλ’ ὁ ἐξιὼν καὶ ἀφηγούμενος πρώτιστα τοῦ δράματος, ἤτοι πρὸ τῆς ὑποθέσεως τοῦ δράματος, εὐθὺς ἂν εἶπε τὸ γένος, φησὶν ὁ Αἰσχύλος· νὴ τὸν Δία, καλῶς ἐποίεις λέγων τὰ ἀλλότρια γένη· κρεῖττον γὰρ ἦν σοι ταῦτα λέγειν ἢ τὸ σαυτοῦ. Εὐριπίδης γὰρ παῖς ἦν Μνησάρχου καπήλου καὶ Κλειτοῦς λαχανοπώλιδος· Αἰσχύλος δὲ γένους ἦν πρώτου.

book 948 ἔπειτ’ ἀπὸ τῶν πρώτων ἐπῶν: παραχρηστικῶς καὶ τὰ ἰαμβεῖα ἔπη καλοῦνται.

book 949

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἔλεγεν ἡ γυνή: τούτου ἕνεκα κωμῳδεῖται δικαίως ὁ Εὐριπίδης ὡς προσώποις τισὶν ἀνοικείους λόγους περιτιθείς.

book 950 εἶτα δῆτα: πρὸς ταῦτά φησιν Αἰσχύλος· εἶτα δῆτα καὶ οὐκ ἐχρῆν σε ἀποθανεῖν δὴ ταῦτα τολμῶντα—λείπει “ποιεῖν” ἢ “λέγειν”—; τὸ “δῆτα” δὲ καὶ “δή” ταὐτὸ δηλοῦν οὐκ αἰτιατέον· ἔστι γὰρ ἀττικόν, ὡς τὸ “οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν”.

book 951 μὰ τὸν Ἀπόλλω, φησὶν Εὐριπίδης, ἤτοι οὔ μὰ τὸν Ἀπόλλω, οὐκ ἔδει με θανεῖν. δημοτικὸν γὰρ αὐτὸ ἔδρων, τὸ πάντας λέγειν ἐπίσης· δημοτικὸν γὰρ ἡ ἰσότης.

book 952 τοῦτο μὲν ἔασον, ὦ τάν: τοῦτο, φησὶν ὁ Διόνυσος, τὸ λέγειν σε, ὅτι δημοκρατικὸν τοῦτο ποιεῖς, ἔα· οὐ καλῶς γὰρ βαδίζεις περὶ τούτου, ἤτοι οὐ καλῶς ἀποκρίνῃ περὶ τούτου καὶ ὀρθοδρομεῖς, ἀλλὰ χωλεύεις ταῖς ἀποκρίσεσιν. ἐν λογικαῖς γὰρ ὑποθέσεσιν ἀνοικειοπροσώπως δημοκρατικῶς οὐ χρὴ τοὺς λόγους εἰσφέρειν, ὡς οὐδ’ ὁ γεννάδας ἐκεῖνος Ἀρμένιος, ὦ Εὐριπίδη, ὁ ἑκατὸν πληγὰς συνθέμενος χρυσῷ στατῆρι λαβεῖν, ὀδυνηθεὶς δὲ ταῖς πεντήκοντα καὶ κεκραγὼς καὶ βοῶν· “σημισίου θέλειμες”· ἤκουσε γὰρ κἀκεῖνος· “σημισίου, Ἀρμένιε, ἐνταῦθα οὐ κρούουσιν”.

book 956 ἐπῶν τε γωνιασμούς: συστροφὰς καὶ καμπὰς λογυδρίων.

book 957 νοεῖν: ἀφ’ ἑαυτῶν νοοῦντάς τι πράττειν. ὁρᾶν: ἐρευνᾶν, πολυπραγμονεῖν. ξυνιέναι: τὰ παρ’ ἑτέρων ἢ λεγόμενα ἢ πραττόμενα νοεῖν. στρέφειν: ἀνατρέπειν τὰ λεγόμενα. ἐρᾶν: ἐρωτικὰ γεγραφέναι. τεχνάζειν: πανουργεῖν, ἢ τὰ πρὸς ἔρωτας τεχνικῶς λέγειν, ὡς ἐν Φαίδρᾳ.

book 958 καχ`` ὑποτοπεῖσθαι: μὴ ἁπλοϊκὴν ἔχειν τὴν φύσιν, ἀλλὰ κακοϋπονοήτους περὶ τοὺς πλείονας εἶναι καὶ μὴ ῥᾳδίως πιστεύειν τινί. περινοεῖν: πανουργότατα καὶ βαθέως πάντα νοεῖν.

book 959 οἰκεῖα πράγματ’ εἰσάγων: συνήθη καὶ γνώριμα λέγων, ἐξ ὧν ἂν καὶ παρὰ τοῦ τυχόντος ῥᾳδίως ἠλεγχόμην, εἴ τι ἄρα ταῖς τραγῳδίαις γράφων διήμαρτον.

book 961 ἀλλ’ οὐκ ἐκομπολάκουν: οὐ βαρυβρέμονας καὶ κομπώδες ἠχούσας ἔγραφον λέξεις, ἐκ τοῦ φρονεῖν τε καὶ νοεῖν ἀποσπάσας, ἤτοι πόρρω τοῦ νοουμένου καὶ τοῦ σαφοῦς ταύτας ποιῶν.

book 963a Κύκνον· τὸν Ποσειδῶνος. Μέμνονα· τὸν Τιθωνοῦ καὶ Ἡμέρας.

book 963b καὶ κωδωνοφαλαροπώλους: τὸν Τυδέα καὶ ἑτέρους παράγει ἐπὶ τῶν φαλάρων καὶ προμετωπιδίων τῶν ἵππων κώδωνας ἔχοντας.

book 964 ἑκατέρους μαθητάς: Φορμίσιον καὶ Μεγαίνετον τοὺς Αἰσχύλου μακρογενείους ὄντας, καὶ τοὺς ἐμούς, Κλειτοφῶντα καὶ Θηραμένη τὸν κόθορνον· ἢ “ἑκατέρου μαθητάς”, τοῦ Αἰσχύλου κἀμοῦ. Φορμίσιος μαθητὴς Αἰσχύλου κομήτης, φοβερὸς τῇ θέᾳ, καθιέμενον εἰς βάθος τὸν πώγωνα φέρων. ἦν δὲ καὶ δωροδόκος. Μανᾶς τοὺς δούλους ἐκάλουν, ὡς καὶ Πυρρίας καὶ Τιβίους, ἀπό τινων φαυλοτάτων δούλων κλήσεις λαχόντων τοιαύτας. τὸν Μεγαίνετον δὲ οὐχ ὡς δοῦλον, ἀλλ’ ὡς

book 964 ἀναίσθητον Μανῆν κέκληκεν· ἦν δὲ οὗτος θρασύς, αὐθάδης καὶ στρατηγιῶν.

book 966a σαλπιγγολογχυπηνάδαι: βυκανοδορατογένειοι, τουτέστιν ἄγαν καθειμένας ἔχοντες καὶ μακρὰς γενειάδας.

book 966b σαρκασμοπιτυοκάμπται: ἔα παλαιούς, καρδία σοφωτάτη, ἄλλοις, ἐφευρίσκουσα τοὺς Τζέτζου λόγους, ἄκουε δ’ ἡμῶν, τί τοδὶ δηλοῦν θέλει· ὀδοντοδεῖκται, Σίννιδες πεφυκότες, κεχηνότες τάχα τε καὶ τῶν ἀφρόνων, μιμούμενοι δὲ τοὺς κραταιοὺς ἰσχύϊ, λῃστὴς ὁποῖος Σίννις ἦν κράτει πάλαι, σχοίνοις ὃς εἰς γῆν δένδρα συγκλίνων πίτυς ἄνδρας ἐδέσμει δυστυχεῖς, τρισαθλίους, καμπῆς δ’ ἐκείνας ἐξαφεικὼς ἀθρόως ἐσφενδόνα βίαιον εἰς τὸν αἰθέρα. τὸ δὲ “σαρκασμοπιτυοκάμπται” οὕτω νοεῖται· οἱ μωροὶ δὲ καὶ ἀκουσίως κεχηνότες καὶ δεικνύοντες αὐτῶν τοὺς ὀδόντας, οἰόμενοι δέ τινες εἶναι μεγάλοι καὶ φοβεροί, ὁποῖος ἦν ὁ Σίννις ἐκεῖνος ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιτυοκάμπτης τοὐπίκλην. ἀλλὰ τίς μὲν ὁ Σίννις, ἐπέγνως· νῦν δὲ καὶ τί τὸ “σάρκασμα” μάνθανε. “σαρκάζειν” ἐστὶ τὸ ἄκοντά τινα τοὺς ὀδόντας δεικνύειν, “σκαρδάσ-
book 966b σειν” κινεῖν τὰς ὀφρῦς, τὸ “σκαρδαμύσσειν” ὀφθαλμοὺς ὑποτρέμειν, “σκορδινᾶσθαι” τὸ μετὰ χάσμης τείνειν τὰς χεῖρας. ἄρτι διοῖσον τῶνδε τεσσάρων μάθε, τοῦ “σκορδινᾶσθαι” καὶ “σκαρδαμύσσειν” λέγω, καὶ δή γε “σκαρδάδας” τε “σαρκάζειν” ἅμα.

book 967 ὁ Κλειτοφῶν καὶ ὁ Θηραμένης, Εὐριπίδου μαθηταί, πανουργότατοι καὶ ἀλλοπρόσαλλοι. πολλάκις δὲ περὶ Θηραμένους εἴπομεν· καὶ νῦν δὲ βραχέα ἐροῦμέν τινα.

book 969 ὃς ἢν κακοῖς που περιπέσῃ: ὃς Θηραμένης περιπεσὼν δυσχερέσιν καὶ πλησίον παραστὰς συμφορῶν, ἔξω τῶν κακῶν ἐκπίπτει καὶ σῴζεται πανουργεύμασιν, “οὐ Χῖος. ἀλλὰ Κῖος”, ἤτοι κατὰ τὴν παροιμίαν. ἐάν τι ἀνιαρὸν καὶ ἐχθρὸν παρά τινων ἀπήντα τοῖς Χίοις, τῶν Χίων οἱ δραστικώτεροι, ὡς Χῖοι κρατούμενοι, λέγοντες ὑπάρχειν οὐ Χῖοι, ἀλλὰ Κῖοι, ὡσαύτως δὲ καὶ οἱ Κῖοι, τὴν δυσχέρειαν ἀπεδίδρασκον. εἰ δ’ ἀγαθόν τι τοῖς Χίοις συνέτρεχε, καὶ οἱ Κῖοι Χῖοι ἔλεγον εἶναι, οὐ Κῖοι· πολλῷ δὲ μᾶλλον οἱ Χῖοι.

book 972a εἰσηγησάμην: ἐδίδαξα. λογισμόν: ἀκρίβειαν, πολυπραγμοσύνην.

book 973 τῇ τέχνῃ: τῇ τραγικῇ.

book 974a σκέψιν: φροντίδα, οἰκονομίαν.

book 974b σκέψιν] φροντίδα οἰκονόμον.

book 976/77 καὶ τὰς οἰκίας οἰκεῖν ἄμεινον: ἤτοι οἰκονομικωτέρους αὐτοὺς ἐποιησάμην.

book 978 κἀνασκοπεῖν: ἀνακρίνειν ἀνερευνᾶν.

book 984 ἀπεδήδοκε] καταβέβρωκε.

book 984/85 τίς τῆς μαινίδος: ἡ μαινὶς εἶδός ἐστιν ἰχθύος ὅμοιον ταῖς πλατείαις σμαρίσιν, οὐ μέντοι αὐτὴ ἡ σμαρίς, ὡς οἱ τοῖς σχέδεσι βαρβαρούμενοι τοῦτο νομίζουσιν.

book 985 “τρύβλιον” καὶ “τρυβλίον”. τέθνηκέ μοι τὸ τρυβλίον: κατεάγη, ἐρράγη. ἀγγεῖον δὲ κοῖλον τὸ τρυβλίον νομίζεται τοῖς πολλοῖς, εἰς ὃ τὰ ὄψα χύτραθε κενοῦντες καὶ θέντες ἐν τῇ τραπέζῃ ἐσθίομεν. καὶ Ἀριστοφάνης νῦν τοιοῦτο τοῦτό φησιν· ἡ βασιλὶς δὲ Κλεοπάτρα καὶ Διοσκορίδης ὁ Ναζαρβεὺς Ἀφρικανός τε καὶ ὅσοι περὶ μέτρων συνέγραψαν καὶ σταθμῶν, τὸν ὀξύβαφον, τὸν ξέστην, τὸ τρύβλίον, τὸ κεράμιον καὶ ἕτερα εἴδη μυρία σταθμῶν ὑγρῶν ποσὰ ταῦτα λέγουσιν, ἃ εἰς σπουδαίου τινὸς καὶ ἀξιοζήλου συγγράμματος ἔδει με γράφειν, οὐκ εἰς θυμελικὴν ἐπεξήγησιν.

book 988a τίς τῆς ἐλάας παρέτραγε: “τίς ἔφαγεν ἄρτων”, “τίς ἔπινεν οἴνων”, ἀττικῶς μετὰ γενικῆς συντάσσονται.

book 988b ἐλάας] τῆς ἐλαίας.

book 989 τέως δὲ: μέχρι δὲ τότε, ἤτοι μέχρις ἐμοῦ, ἀβελτερώτατοι, ἀσυνετώτατοι, ἀμήχανοι, μὴ δυνάμενοι ἀνῦσαι, ὃ βούλεσθε· ἀπὸ μεταφορᾶς ἀφυῶν τοξοτῶν· οἱ βέλτεροι γὰρ καὶ περιδέξια βάλλοντες ἐπιτυγχάνουσι τοῦ σκοποῦ, οἱ δ’ ἀφυεῖς καὶ σκαιοὶ καὶ ἀβέλτεροι ἀποτυγχάνουσιν.

book 992 τάδε μὲν λεύσεις, φαίδιμ’ Ἀχιλεῦ: ἀρχὴ Μυρμιδόνων Αἰσχύλου· οὕτω δὲ τὸν Αἰσχύλον ὁ χορὸς καλεῖ.

book 993 μόνον: λείπει τὸ “πρόσσχες”, ἵν’ ᾖ· “μόνον πρόσσχες, ὅπως καὶ πῶς”· ἢ “ὅπως μή σε ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσει τῶν ἐλαῶν”, ἤτοι τοῦ καθεστηκότος καὶ ἐλαιώδους καὶ λείου.

book 996 κατηγόρηκεν: ἀττικῶς οὐ “κεκατηγόρηκεν”. ἀλλ’ ὅπως καὶ πῶς, ὦ γεννάδα, ἀντιλέξεις μὴ πρὸς ὀργήν. οὕτως ἡ συνέπεια· μὴ (993) ἁρπάσῃ σε ὁ θυμὸς ἔξω τοῦ δέοντος, ἀλλὰ πρόσσχες, ὦ γενναῖε, πῶς ἀντιλέξεις μὴ χρώμενος ἄκροισι καὶ ὅλοις τοῖς ἱστίοις—ἀπὸ τῶν εὐπλοουσῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁλκάδων πνεύμασιν εὐηνέμοις—, (999) ἀλλὰ συστείλας καὶ περισφίγξας. τὰ λαίφη τοῦ θυμοῦ, εἶτα πλέον καὶ πλέον ἄξεις σεαυτὸν εἰς τὸ λέγειν, ἡνίκα ἂν τὸ τοῦ θυμοῦ πνεῦμα λωφήσῃ.

book 1002 φυλάξεις] τὸ τῆς ἀντιλογίας.

book 1003 καθεστηκὸς] σύμμετρον.

book 1004a ἀλλ' ὦ πρῶτος: ἀλλ', ὦ Αἰσχύλε, πρῶτος καὶ πρῶτε ἀπὸ τῶν Ἑλλήνων πυργώσας καὶ ἐπιστηρίξας καὶ ὑψώσας τὰ σεμνὰ καὶ κόσμια καὶ διηρμένα ῥήματα, τὰ τῶν ἡρώων δηλονότι, τὰ ἐν ταῖς τραγῳδίαις φερόμενα, καὶ κοσμήσας τὸν τραγικὸν λῆρον καὶ εἰς κοσμιότητα ἐξ ἀκοσμίας ἀγοραίας μεταγαγὼν τὸν τραγικὸν λῆρον καὶ τὴν χύσιν τῆς εὑρεσιλογίας τῆς τραγικῆς— "λῆροι" γὰρ οἱ χειροποίητοι κρουνοὶ λέγονται· ἴσως δὲ νῦν ἐσχηματισμένως δύναιτο λέγειν Ἀριστοφάνης, καὶ "λῆρον" φλυαρίαν τραγικήν— θαρρῶν ἀφίει τὸν κρουνόν, ἤτοι πρόπεμπε σοὺς λόγους ὡς δωδεκάκρουνον νᾶμα.

book 1004b πυργώσας] ἐπιστηρίξας.

book 1006a θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ: ἤτοι ἐπὶ τῷ νῦν συμβάντι, τῷ πρὸς Εὐριπίδην ἀντιλέγειν ἐμέ.

book 1006b καί μου τὰ σπλάγχνα ἀγανακτεῖ: ἤτοι ἐμοὶ τὰ ἐντόσθια φλέγεται τοῦ περικαρδίου ζέσαντος αἵματος. ἵνα μὴ φάσκῃ δ' ἀπορεῖν ἐμέ: λείπει τὸ "ἀντιλέξω"· καὶ αὐτίκα Εὐριπίδην ἐρωτᾷ· κἀκεῖνος αὐτῷ ἀποκρίνεται.

book 1009 δεξιότητος: εὐφυΐας, ἐπιτηδειότητος. νουθεσίας: παραινέσεως, διδασκαλίας, παιδεύσεως.

book 1011a ἐκ χρηστῶν καὶ γενναίων: ἀγαθῶν, εὐγενῶν, ἀνδρειοψύχων. μοχθηροτάτους: φαυλοτάτους, ἀχρήστους.

book 1011b χρηστῶν] εὐγενῶν, ἀνδρειοψύχων.

book 1011c μοχθηροτάτους] φαυλοτάτους.

book 1012 τεθνάναι: "ζῶσαι" μὲν ἐχρῆν τὸν νεκρὸν φάναι "πάλιν". ἐπεὶ δὲ τὸν Εὐριπίδην παράγει ζωῆς ἐφιέμενον, ὡς περὶ τὸ τέλος τοῦ δράματος δείξει σαφέστατα, τεθνάναι δεύτερον θάνατον τοῦτόν φησιν, εἰ καὶ τέθνηκεν ὅμως, καὶ πρὸς Ἅιδην ἐξ Ἅιδου μεταπεσεῖν δεύτερον. ἤ· ὅτ' ἔζη, εἰ, ὥσπερ φής, τὴν τραγῳδίαν οὑτωσὶ ἐλυμήνατο.

book 1014 γενναίους καὶ τετραπήχεις: εὐγενεῖς, φησί, καὶ "τετραπήχεις", γίγαντας ἥρωας, τοὺς ἐν Ἀθήναις ἀνθρώπους οὗτος λαβὼν παρ' ἐμοῦ, τουτέστιν ἐκ τῶν ἐμῶν διδαγμάτων, καὶ μὴ "διαδρασιπολίτας", ἤγουν πολίτας δειλοὺς καὶ ἀποδιδράσκοντας πόλεμον—ἢ διαδρασιπολίτας καὶ τὰ τῆς πολιτείας ἐκφεύγοντας πράττειν—, "ἀγοραίους" εἰργάσατο καὶ "κοβάλους" καὶ μίμους, καὶ "πανούργους", δολίους καὶ βδελυρούς.

book 1016 ἀλλὰ πνέοντας τὸ καὶ τό: πνέοντας δηλοῖ πολέμους καὶ θυμοὺς αἰαντείους.

book 1017 πήληκας] περικεφαλαίας.

book 1018 καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν: ὅ, φησὶν Εὐριπίδης, ἔλεγον κακόν, ἤδη τοῦτο χωρεῖ. καὶ ὁ Διόνυσος ὑψηλολεκτῶν φησιν· ὁ Αἰσχύλος καὶ κράνη λέγων καὶ τρυφαλείας καὶ πήληκας συντρίψει με.

book 1020 μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε: μηδ' ἀλαζονικῶς κενοδοξῶν ὀργίζου.

book 1021 δρᾶμα ποιήσας Ἄρεος ως μεστόν: τοὺς Ἑπτ`' ἐπὶ Θήβας. γενναίως γὰρ καὶ στρατηγικῶς ἐκεῖ καὶ βασιλικῶς ὁ Ἐτεοκλῆς καὶ στρατηγεῖ καὶ βουλεύεται καὶ κατασκόπους ἐκπέμπει καὶ τάσσει τοὺς λόχους καὶ τἄλλα πάντα ποιεῖ, ὁπόσα ἐχρῆν βασιλέα καὶ στρατηγὸν δεξιώτατον.

book 1023 τουτὶ μέν σοι κακὸν εἴργασται: μὴ ἔχοντα δῆθε τὸν Εὐριπίδην τι τοῦ δράματος αἰτιᾶσθαι φέρει ληροῦντα ταυτί, καὶ συλληροῦσιν ἀμφότεροι. τουτὶ γάρ, φησί, σοὶ κακὸν εἴργασται καὶ τούτου

ἕνεκα τύπτου, ὅτι Θηβαίους Ἀργείων εἰς πόλεμον ἀνδρειοτέρους πεποίηκας. “ἀνδρεία”, πολλάκις εἴπομεν, ἐπὶ ψυχῆς λέγεται, “ῥώμη” δὲ ἐπὶ σώματος.

book 1025 ἀλλ’ ὑμῖν τοῖς μετ’ ἐμὲ ποιηταῖς, σοί τε, τῷ Εὐριπίδη, καὶ ἄλλοις, ἐξῆν τοῦτο· εὐλογίαν δ’ οὐκ ἠθελήσατε καὶ ἀφῃρέθη ἀφ’ ὑμῶν.

book 1026 εἶτα διδάξας Πέρσας: τὸ “εἶτα” μὴ τακτικόν τις νοείτω, ὥστε δοκεῖν πρῶτον διδαχθῆναι τὸ δρᾶμα τοὺς Ἑπτὰ ἐπὶ Θήβας, εἶτα τοὺς Πέρσας—προτέρους γὰρ τοὺς Πέρσας φασὶ διδαχθῆναι, δευτέρως δὲ τοὺς Ἑπτὰ ἐπὶ Θήβας—, ἀλλ’ οὕτω λεγέτω τε καὶ νοείτω· δρᾶμα ποιήσας τοὺς Ἑπτὰ ἐπὶ Θήβας, εἶτα διδάξας Πέρσας, ἀντὶ τοῦ “καὶ ἕτερον ποιήσας, τοὺς Πέρσας”.

book 1027 κοσμήσας ἔργον ἄριστον: τὸ μεγαλοπρεπὲς καὶ ἄριστον ἔργον τῶν Ἀθηναίων, τουτέστι τὸν πόλεμον, ὃν κατὰ γῆν τε καὶ θάλασσαν συμβαλόντες τοῖς Πέρσαις λαμπρῶς νενικήκασι, καλλύνας λόγοις προσφόροις καὶ δράματι πρέποντι.

book 1028 ἐχάρην γοῦν, ἡνίκ’ ἤκουσα περὶ Δαρείου τηθνεῶτος: ἡδύνθην γοῦν καὶ ηὐφράνθην. ἐσχηματισμένως δὲ δύναται νοηθῆναι καὶ “ἐγέλασα διασύρων ὡς κατάμομφον, ὁπότε ἤκουσα περὶ τοῦ τηθνεῶτος Δαρείου, ὅτε τὸ εἴδωλον αὐτοῦ πρὸς τὰς χοὰς ἀνελθὸν Ἀτόσσῃ τε διαλέγεται καὶ τοῖς γεραιτέροις Περσῶν, καὶ ἀκηκοότες οἱ γέροντες περσιστὶ κατοδύρονται”.

book 1029 ὡδὶ συγκρούσας: κατὰ τοῦτον τὸν τρόπον. συνάψας γὰρ τὰς β′ χεῖρας αὑτοῦ καὶ συγκρούσας πρακτικῶς τοῦτο δείκνυσιν.

book 1032 Ὀρφεὺς μὲν γὰρ: Ὀρφεὺς ὁ μέγας, Θρᾷξ ὢν τῷ γένει, Οἰάγρου παῖς καὶ Μενίππης, ἀλληγορικῶς δὲ Καλλιόπης τῆς Μούσης, τελετὰς καὶ μυστήρια καὶ σεβασμοὺς θεῶν πρῶτος ἔδειξεν, ὅθεν εἴρηται καὶ “θρησκεύειν” τὸ θεοὺς τιμᾶν· Θρᾷξ γὰρ ὢν ὁ Ὀρφεύς, ὥσπερ εἶπον, τοῦτο ἔφευρεν.

book 1033 Φιλόχορος τὸν Μουσαῖον Σελήνης υἱόν φησι καὶ Εὐμόλπου.

book 1036a τάξεις: παρατάξεις στρατιωτικάς. ἀρετάς: πολεμικὰς καὶ γενναιότητος· ἀλλὰ καὶ ἀρετὰς φρονήσεως, δικαιοσύνης, σωφροσύνης καὶ κοσμιότητος.

book 1036b καὶ μὴν οὐ Παντακλέα: διαβάλλει Παντακλέα ὡς ἄπειρον ὁπλίσεως.

book 1037a σκαιότατον: χωριτικόν, μανδροτραφῆ, σηκαιότατόν τινα ὄντα· ἀφυῆ καὶ ἐπαρίστερον.

book 1037b πρώην γοῦν, ἡνίκ’ ἔπεμπεν: ἡ πόλις, ἢ αὐτὸς ἑαυτόν, ἐπ’ ἐκστρατείαν, τὸ κράνος καὶ τὴν περικεφαλαίαν πρῶτον περιδησάμενος καὶ περὶ τὸν ἀνθερεῶνα δήσας ἔμελλεν ἐπιδήσειν καὶ ἔπειτα δήσειν τὸν λόφον. λόφος δέ ἐστι τὸ τῆς περικεφαλαίας αὐλοειδὲς ἐπανάστημα, ἐν ᾧ αἱ ἵππειαι τρίχες εἰς κόσμον καὶ φόβον ἐμβάλλονται.

book 1039 Λάμαχος: γενναῖος καὶ φιλοπόλεμος στρατηγὸς Ἀθηναίων.

book 1040 ὅθεν: ἐξ Ὁμήρου ἡ ἐμὴ φρὴν ἀπομαξαμένη, ἤτοι ἐγὼ μιμησάμενος, πολλὰς ἀρετὰς στρατιωτικὰς ἐποίησα καὶ τῇ ἐμῇ ποιήσει συνεγραψάμην Πατρόκλων, Τεύκρων λεοντοψύχων ἤτοι γενναίων καὶ ἰσχυρῶν ἐν ταῖς μάχαις, ἵνα τοὺς ἐμοὺς πολίτας ἀναπτερῶ μιμητὰς τούτων γίνεσθαι τοῖς πολέμοις.

book 1043 Φαίδρας: Φαίδρα τοῦ Εὐριπίδου δρᾶμά ἐστιν. Σθενέβοια: ἡ παρ’ Ὁμήρῳ λεγομένη Ἄντεια· καὶ ταύτης δύο δράματα Εὐριπίδου, τὸ μὲν Βελλεροφόντης καλούμενον, τὸ δὲ Σθενέβοια· γράφουσι δὲ τὸν Σθενεβοίας ἔρωτα πρὸς Βελλεροφόντην.

book 1045 ἐνῆν τῆς Ἀφροδίτης οὐδέν σοι: οὐχ ὡς ἀμόρφου καὶ ἀηδοῦς, ἀλλ’ ὡς στρυφνοῦ καὶ συνεστηκότος τὸ ἦθος ὄντος Αἰσχύλου καὶ μὴ ἐκλύτου καὶ ζῶντος βίον διάρρυτον τοῦτό φησιν.

book 1046 ἐπὶ σοὶ καὶ τοῖς σοῖς πολλὴ καὶ διὰ πολλοῦ χρόνου ἡ Ἀφροδίτη ἤτοι τὰ μοιχικὰ εἴθε ἐπικάθοιτο καὶ ἐστηριγμένα εἴη μὴ ἀφιστάμενά τε καὶ ἀποτρέχοντα. ἐμφαίνει δὲ τὴν πρὸς Κηφισοφῶντα μοιχείαν Μελιτοῦς ἢ Χοιρίλλης, γυναικὸς Εὐριπίδου.

book 1051 κώνεια πίνειν: πολλαὶ γὰρ τῶν ὑπερόχων γυναῖκες ὡς ἡ Σθενέβοια ἐρασθεῖσαί τινων καὶ τῶν ἐρωμένων οὐχὶ τυχοῦσαι φαρμάκοις αὑτὰς διεχρήσαντο. ἡ δὲ Σθενέβοια μετὰ τὰ τρόπαια τὰ κατὰ Λυκίαν νικητοῦ Βελλεροφόντου ὑποστραφέντος καὶ Προῖτον αἰτιωμένου, ὡς κατ᾿ αὐτοῦ μελετήσαντος ἄδικον θάνατον, ἀναιρεῖται τρόπῳ τοιούτῳ. προσποιεῖται Βελλεροφόντης ταύτης ἐρᾶν· ἡ δὲ νικωμένη τῷ ἔρωτι, ἀφεῖσα τὸν οἶκον τοῦ Προίτου, ἔξεισι λάθρᾳ, καὶ κατὰ νώτου Πηγάσου συνεποχεῖται Βελλεροφόντῃ, ὃς διαέριος μέσῳ πελάγους φερόμενος τῶν νώτων τοῦ ἵππου ἀποσφαιρίσας αὐτὴν τοῖς ὕδασιν ἀπέπνιξεν.

book 1053 μὰ Δί᾿ ἀλλ᾿ ὄντα: οὐ μὰ Δία, οὐκ εἶπας ψευδῆ λόγον, ἀλλ᾿ ὄντα καὶ γεγονότα καὶ ἀληθῆ· ἀλλὰ χρὴ τὸν ποιητὴν τὰ πονηρὰ κρύπτειν καὶ μὴ παράγειν καὶ φέρειν καὶ φανεροῦν. τοῖς παιδαρίοις γὰρ διδάσκαλοι οἱ γραμματισταί· οἱ ποιηταὶ δὲ τῶν τελείων νουθετηταὶ γινόμεθα καὶ διδάσκαλοι.

book 1056 ἢν οὖν σὺ λέγῃς: πρὸς ταῦτα ὁ Εὐριπίδης φησί· τὰ μὲν ἐμά, ὡς φής, ἀσυντελῆ καὶ πλέον ἐπιβλαβῆ· ἐὰν δὲ σὺ λέγῃς Σπερχειούς, Λυκαβηττοὺς ἢ Παρνασσοὺς ἢ Καυκάσους ἢ ἄλλα τοιαῦτά τινα, ἢ λέξεις τοιαύτας τινὰς ἐξηρμένας, ὀρεσκῴους καὶ ὑψικρήμνους καὶ ἀποκρότους καὶ ὑπερόφρυας, τοῦτο ἔστι χρηστὸν δίδαγμα, ὅντινά σε ἔδει φράζειν ἀνθρωπείως ἤτοι κεχρημένον λέξεσι μέσαις, ἡμεροφώνοις τε καὶ ἠπίαις καὶ προσηνέσι καὶ λείαις ταῖς ἀκοαῖς; καὶ ὁ Αἰσχύλος· ἀλλ᾿, ὦ κακόδαιμον, τῶν ὑψηλῶν νοημάτων καὶ ὑποθέσεων καὶ πραγμάτων μεγάλους καὶ ὑψηλοὺς καὶ τοὺς λόγους δέον συντίθεσθαι· ἄλλως τε δὲ τὰ ἡμέτερα συγγράμματα περὶ ἡρώων καὶ ἡμιθέων διδάσκουσιν· εἶκος δὲ τοὺς ἥρωας, ὡς ἡμῶν πολὺ μείζοσι καὶ σεμνοτέροις χρῶνται τοῖς ἱματίοις, οὕτω δὴ χρῆσθαι καὶ λόγοις ὑψηλοτέροις· ἃ σὺ ἐλυμήνω

book 1056 ἐμοῦ περὶ τούτων καλλίστως διδάξαντος.

book 1063 ῥάκι᾿ ἀμπίσχων: ἀμφιεννὺς ῥάκια· δι᾿ Οἰνέα καὶ Τήλεφον καὶ τοὺς ἑτέρους· πτωχοποιὸς γὰρ ὁ Εὐριπίδης ἀεί.

book 1066 περιιλλόμενος: κρυπτόμενος, σκεπόμενος· ἤτοι ἔξωθεν ἐνδεδυμένος πενιχρὰ ἱμάτια κλαίει καὶ ἄπορος εἶναί φησιν.

book 1067 οὔλων ἐρίων: μαλακῶν μαλλῶν, νημάτων· μετάξης.

book 1068 κἂν ταῦτα λέγων: κἂν λέγων πένης εἶναι ἐξαπατήσῃ τοὺς συνωθοῦντας συνήθεις αὐτὸν τριηραρχεῖν δηλονότι, παρὰ τοὺς ἰχθῦς καὶ τὰ ἰχθυοπώλια ἀνέκυψεν, ἤτοι ὠνούμενος τοὺς τιμαλφεῖς τῶν ἰχθύων τρυφᾷ. τὸ δὲ λέγειν "ἰχθῦς" καὶ "μύρα" καὶ "τυρούς" καὶ τὰ τοιαῦτα ἀπεμπολούμενα ἀντὶ τῶν πωλητηρίων, καὶ τὰ περιεχόμενα ἀντὶ τῶν περιεχόντων καὶ τὰ μέρη ἀντὶ τῶν ὅλων καὶ τὸ ἔμπαλιν, ὡς τὸ "ἐλέφαντα" τὸ "ἐλεφάντινον ὀστοῦν", "κεφαλὴν Τηλεμάχου" ἀντὶ τοῦ "Τηλέμαχον" καὶ "πόλις" ἀντὶ τοῦ "οἱ πολῖται" καὶ "Αἴγυπτος" ἀντὶ τοῦ "οἱ Αἰγύπτιοι" καὶ τὰ ὅμοια, ἀττικόν ἐστιν.

book 1069a λαλιὰν: φλυαρίαν, πολυλογίαν· "λέγειν" γὰρ τὸ τὰ δέοντα φθέγγεσθαι συντεταγμένως, "λαλεῖν" δὲ ποτὲ τὸ φλυαρεῖν, ἀπὸ τῆς τῶν λάρων φωνῆς τοῦ λα, ποτὲ τὸ βοᾶν καὶ θορυβεῖν, ποτὲ δὲ τὸ ἁπλῶς φθέγγεσθαι, μὴ λόγου κεκαλλωπισμένῃ συνθήκῃ.

book 1069b στωμυλία: πολυλογία εὐτράπελος· ἣ στωμυλία ἐξεκένωσε τὰς παλαίστρας καὶ τὰ γυμνάσια, ἤτοι ἀγυμνάστους μὲν πολεμικῶν καὶ καλῶν ἔργων τοὺς ἀνθρώπους ἐποίησε, τὰς πυγὰς δὲ καὶ τὰς καθέδρας τῶν μειρακίων ἐξέτριψε στωμυλλομένων καὶ εὑρησιλογούντων.

book 1071 καὶ τοὺς παράλους ἀνέπεισεν: τοὺς τριηρίτας ναύτας ἀνέπεισεν ἀντιλέγειν τοῖς τριηράρχαις τριηράρχοις· καίτοι, φησὶν ὁ Αἰσχύλος, τότε, ὅτ᾿ ἔζων ἐγώ, οὐκ ἠπίσταντο οἱ ναυτιλλόμενοι ἄλλο τι εἰπεῖν ἢ "μάζαν" καὶ "μὴ ἄζαν", ἀλλὰ νεοφύρατον ἀρτίδιον, καὶ πίτταν καὶ πιττάριον·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρβαρίσαι γὰρ διὰ τοὺς βαρβάρους οὐκ ἀπεικός ἐστιν, ἵνα καὶ τούτους κερδήσωμεν. τοῦτο μόνον τότε ὁ ναυτικὸς ἠπίστατο λέγειν καὶ "ῥυππαπαῖ", ναυτικὸν ἐπίφθεγμα κινητικὸν καὶ διεγερτικὸν πρὸς κωπηλασίαν, καὶ προσπαρδεῖν ἐς τὸ στόμα τῷ θαλάμακι. τρεῖς τάξεις τῶν ἐρεσσόντων ἦσαν ἐν ταῖς τριήρεσι· θαλάμακες οἱ ἐν τῷ κάτω μέρει τῆς τριήρους ἔγγιστα τοῦ ὕδατος, οἳ καὶ κολοβαῖς καὶ βραχείαις ἐχρῶντο κώπαις καὶ τὸν μισθὸν ἐλάττω ἐλάμβανον. οἱ μέσοι δὲ ἐλατῆρες ἐκαλοῦντο ζυγῖται· οἱ δὲ ἄνω θρανῖται. συνέβαινεν οὖν τὸν μὲν ζυγίτην

book 1071 ἀποπαρδοῦντα κατ' ἶσον ἀποπαρδεῖν τοῦ στόματος τοῦ θαλάμακος, τὸν δὲ θρανίτην ἐς τὸ στόμα τοῦ ζυγίτου. (1075) ταῦτα τότε ἠπίστατο καὶ μινθῶσαι, νῦν ὀσμῆς ἀναπλῆσαι, τὸν σύσσιτον. νῦν δ' ἀντιλέγει τῷ ἄρχοντι καὶ οὐκ ἐλαύνει, πλεῖ δὲ κἀκεῖσε κἀνταῦθα. ταῦτα καὶ περὶ τούτων οὕτως εἰπέ· μὴ εἴπῃς δέ, ὡς ἔτι κοιμώμενος ἢ κοτζοπαικτῶν· θρανίτης ὁ πρὸς τὴν πρύμναν, θαλάμιος ὁ πρὸς τὴν πρῴραν, μηδὲ εἴπῃς· κυρίως Πάραλος καὶ Σαλαμινία τριήρεις εἰρηναρχικαί, ἀλλὰ κατὰ Τζέτζην αὐτὴν μὲν τὴν Σαλαμινίαν τὴν εἰς δικαστήριον ἄγουσαν τοὺς ἐκ περαίας, Πάραλον δὲ τὴν ἱεράς ποι θυσίας ἀπάγουσαν μετὰ φανῶν, θαλῶν καὶ λαμπάδων καὶ ἀνδρῶν λευκοφόρων ἱεροθυτῶν ἐστεφανωμένων. ὅρα, γενναία ψυχή, τὰ τῶν παλαιῶν μέχρι καὶ αὐτῶν τῶν στιγμῶν.

book 1080 τικτούσας ἐν τοῖς ἱεροῖς: Αὔγη, ἡ Ἀλέου θυγάτηρ, ἱέρεια δὲ Ἀθηνᾶς, ἐν τῷ ἱερῷ γεννᾷ Τήλεφον.

book 1081 μιγνυμένας ἀδελφοῖς: Κανάκην, τὴν Αἰόλου, Μακαρεῖ τῷ αὐτῆς ἀδελφῷ.

book 1082 οὐ ζῆν τὸ ζῆν: ἢ διὰ τὰ ἐν Φρίξῳ εἰρημένα· τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν; ἢ διὰ τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ λεγόμενον ἄλλο τι φίλτερον ἄλλο κατὰ γᾶς.

book 1084 ἀνεμεστώθη: ἀνεπληρώθη τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι. γραμματεύειν δὲ νῦν φησι τὸ δικαστικὰ γράφειν ψηφίσματα.

book 1085a βωμολόχων: λάλων, φλυάρων, πολυλόγων.

book 1085b δημοπιθήκων: αὐτὸς ἐφερμηνεύει λέγων "ἐξαπατώντων τὸν δῆμον".

book 1087 λαμπάδα δ' οὐδεὶς: οἷός τε καὶ δυνατός ἐστι φέρειν καὶ βαστάζειν ὑπ' ἀγυμνασίας καὶ ἀπειρίας. τρὶς γὰρ τοῦ ἔτους λαμπαδουχικὸς ἀγὼν ἐν ταῖς Ἀθήναις ἐτελεῖτο· τοῖς Παναθηναίοις, τοῖς Προμηθείοις καὶ Ἡφαιστείοις. ἐτελεῖτο δὲ ὁ λαμπαδικὸς οὗτος ἀγὼν ἐν τῷ Κεραμεικῷ· τόπος δὲ ὁ Κεραμεικὸς ἦν Ἀθήναζε, καὶ οἱ τὸν δρόμον τοῦτον ποιούμενοι φωσφορούσας λαμπάδας κατέχοντες ἔτρεχον.

book 1089 μὰ Δία: οὐ μὰ Δία, φησὶν ὁ Διόνυσος, οὐδείς ἐστιν οἷος καὶ δυνατὸς φέρειν λαμπάδα, ὥστε τῇ τῶν Παναθηναίων ἑορτῇ ἀπαφαυάνθην, ἐξηράνθην, ἐτηθνήκειν γελῶν, ὅτε τις ἔθει καὶ ἔτρεχεν ἄνθρωπος λευκός, πίων, βραδὺς καὶ ὑπολειπόμενος τοῦ τῷ δρόμου (δρόμῳ)· ἔτρεχε δὲ κύψας καὶ δεινὰ ποιῶν, βρονταῖς κροτῶν κάτωθεν ἐντεροκρότοις.

book 1093 κᾆθ' οἱ Κεραμῆς: καὶ εἶτα οἱ Κεραμῆς, ἤτοι μετὰ ταῦτα καὶ εἶτα οἱ Κεραμῆς. τὸ "μῆς", ὅτι ἀττικόν ἐστιν· ἅπαντα δὲ τὰ τοιαῦτα "η" γράφουσιν· ἱππῆς, εὐγενῆς, βασιλῆς, καὶ τὰ ὅμοια· τὰ κύρια δὲ δίφθογγα· Τυδεῖς, Ἀχιλεῖς, Δημοσθένεις, Ἀριστοφάνεις, καὶ τὰ ὅμοια. οὕτω δεινὰ ποιῶν ἔτρεχεν, ὃν εἶπον, "ὑστέρῳ ποδί"· καὶ εἶτα οἱ Κεραμῆς ἐν ταῖς πύλαις παίουσι καὶ ἔπαιον αὐτοῦ τὴν γαστέρα καὶ τὰ λοιπὰ πλατείαις χερσὶν ἢ μάστιξιν· ἢ οὕτως ἁπλῶς λεγομέναις κεραμεικαῖς πλατείαις πληγαῖς, ἐμοὶ δοκεῖ, ἢ μεγάλαις, ἢ ταῖς διὰ πλατείας καὶ λεωφόρου τοῦ δρόμου γινομέναις. οὗτος δὲ ταῖς πλατείαις τῶν Κεραμέων τυπτόμενος,

book 1093 ποιῶν ἄκων ψόφους τε, φυσσῶν λαμπάδα, βραδύς περ ὢν ἔφευγε λαιψηρῷ δρόμῳ.

book 1099 μέγα: μέγα τὸ πρᾶγμα, πολὺς καὶ ἁδρὸς καὶ στιβαρὸς ὁ πόλεμος ἔρχεται· χαλεπὸν οὖν καὶ δυσχερὲς καὶ δύσκολον διαιρεῖν καὶ διαχωρίζειν αὐτοὺς ἀπὸ τῆς ἔχθρας καὶ ἄγειν αὐτοὺς ἐς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμμεταβάσεις, ὅταν ὁ μὲν βίαια λέγῃ, ὥσπερ τις ἄνεμος πνέων σφοδρῶς, ὁ δὲ ἀνθίστασθαι τορῶς, τρανῶς, ἰσχυρῶς, ἀληθῶς δύναται καὶ ἀνατρέπειν τὰ τούτου.

book 1103 ἀλλὰ μὴ 'ν ταὐτῷ κάθησθον: ἀλλὰ χωρίσθητε ἀπ' ἀλλήλων μηκέτι ταὐτῷ τόπῳ καθήμενοι. ἤ· ἀλλὰ μὴ μέχρι τοῦ ἑνὸς ἀντιλογήματος τούτου κάθησθε καὶ ἵστασθε· ἐσβολαὶ γὰρ καὶ νοήματα καὶ ἐνθυμήματα καὶ ἕτερά εἰσι σοφῶν εὑρημάτων. κατὰ ὁτιοῦν φιλονεικεῖν ἔχετε ὑπόθεσιν, λέγετε τοῦτο.

book 1106a ἔπιτον: ἐπέρχεσθε τοῦτο καὶ ἀφηγεῖσθε.

book 1106b ἀναδέρετον: ἐκδέρετε, ἀπογυμνοῦτε, φανεροῦτε τά τε παλαιὰ καὶ τὰ νέα.

book 1108 κἀποκινδυνεύετον: καὶ κινδύνοις καὶ πόνοις παραβαλόντες ἑαυτοὺς καὶ σκοπήσαντες λέγετε λεπτόν τι καὶ σοφόν, μὴ κοινὸν μηδὲ δημωδέστερον. εἰ δὲ δειλιᾶτε τῶν θεατῶν στοχαζόμενοι, μὴ ἀμαθές τι τῶν λεγομένων αὐτοῖς καὶ βαθὺ δόξῃ καὶ σκοτεινόν, τούτου ἕνεκα μηδὲν ὀρρωδεῖτε· οὐ γὰρ οὕτως ἔχει τὰ πράγματα.

book 1113 ἐστρατευμένοι γάρ εἰσι: ἔμπειροι, γεγυμνασμένοι. ἡ μεταφορὰ ἀπὸ τῶν ἐμπείρων στρατιωτῶν. ἔμπειροι μὲν οὖν εἰσι τῶν πραγμάτων, ἀλλὰ καὶ βίβλους ἑλίσσοντες αὐτῶν ἕκαστος μανθάνει τὰ δεξιὰ καὶ τὰ κάλλιστα, ἄλλως τε δὲ καὶ αἱ φύσεις αὐτῶν δεξιαί εἰσιν, ἤτοι εὐφυεῖς, ὀξεῖαι καὶ ἄρισται.

book 1116 νῦν δὲ καὶ παρηκόνηνται: ὀξύτεροι καὶ ἐντριβέστεροι γεγόνασι· μηδὲν οὖν δείσητε, ὡς οὐ νοηθῇ, ἄν τι λεπτὸν εἴπητε, ἀλλὰ πᾶν ἐπεξέρχεσθε καὶ διέρχεσθε καὶ ἀφηγεῖσθε, λέγοντες ὡς ὄντων σοφῶν τῶν περιεστώτων ὑμᾶς θεατῶν καὶ ἀκροατῶν. μικρὸν δέ τι παραφέρεται, καὶ ἀλιτήριος ὤν, ὁ Ἀριστοφάνης καὶ οἴεται τὸν χορὸν ἐν Ἀθήναις εἶναι καὶ οὐκ ἐν Ἅιδου· εἰ γὰρ ἐν Ἅιδου νῦν ἀκριβῶς ἔγνω τὸν χορὸν πεφυκέναι, οὐκ ἂν οὕτω τὸν λόγον προήνεγκεν, ὄντων ἐκεῖσε Λίνου, Θαμύριδος, Ὀρφέως, Ὁμήρου, Ἡσιόδου, Μουσαίου, Ἀναξαγόρου, Ἐμπεδοκλέους, τῶν ἄλλων ἁπάντων, "ὧν ὁ κόσμος οὐκ ἔστιν ἀντάξιος".

book 1119 καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι: ὁρμήσω πρῶτον ἐπὶ τοὺς προλόγους σου, 〈ὁ Εὐριπίδησ〉 λέγει· εἶτά φησι τὸν λόγον ἀποστρέφων πρὸς τὸν Διόνυσον καὶ τὸ παρεστὸς ἀκροώμενον· ὅπως πρώτιστον τὸ πρῶτον μέρος τῆς τραγῳδίας βασανιῶ, πολυπραγμονήσω καὶ ἐξετάσω τοῦ δεξιοῦ καὶ σοφοῦ Αἰσχύλου· ἀσαφῶς γὰρ φέρεται γράφων. καὶ ποῖον πρόλογον βασανιεῖς; ὁ Διόνυσος λέγει. καὶ ὁ Εὐριπίδης· πολλοὺς πάνυ· πρῶτον δέ, ὦ Αἰσχύλε δηλονότι, τὸν πρόλογον τὸν ἐξ Ὀρεστίας λέγε.

book 1126 Ἑρμῆ χθόνιε: ὁ Ἑρμῆς καὶ οὐράνιος καὶ ἐπίγειός ἐστι καὶ καταχθόνιος. νῦν δέ φησιν· ὦ Ἑρμῆ καταχθόνιε καὶ ψυχοπομπέ, ἐποπτεύων καὶ ἐπιτηρῶν τὰ κράτη τὰ πατρῷα καὶ τὴν ἀρχὴν τὴν καταχθόνιον καὶ ψυχοπομπικήν, ἣν ὁ Ζεὺς ὁ πατήρ σοι δεδώρηται, σωτὴρ γενοῦ (1128) μοι. ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι: ἐκ παραλλήλου ταὐτόν ἐστι τὸ σχῆμα.

book 1129 πλεῖν ἢ δώδεκα: "πλέον" "πλεῖν" ἀττικῶς. πλεῖν καὶ πλέον ἢ καὶ παρὸ δώδεκα· ἀπὸ κοινοῦ τὸ "ἔχω ψέγειν".

book 1130 ἀλλ' οὐδὲ πάντα ταῦτ' ἐστί: δηλονότι δώδεκα· ἀλλ' ἢ τρία ἰάμβεια μέτρα.

book 1131a εἴκοσί γ' ἁμαρτίας: μομφάς, αἰτιάματα, πταίσματα.

book 1131b ἁμαρτίας] αἰτιάματα.

book 1133 πρὸς τρισὶν ἰαμβείοις: ἡ "πρός" ἀττικῶς παρέλκει. ὁ νοῦς δέ· παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή, πεισθεὶς ἐμοί, τρισὶν ἰαμβείοις ὀφείλων φανῇ αἰτίας καὶ μώμους.

book 1135 οὐράνιόν γ' ὅσον: ἀττικῶς ἓν τῶν δύο πλεονάζει, ἢ τὸ "ὅσον", ἢ τὸ "οὐράνιον"· ἓν γὰρ τῶν δύο ἀρκεῖ.

book 1136a ὁρᾷς ὅτι ληρεῖς;: τῷ Διονύσῳ Αἰσχύλος φησίν· ὁρᾷς, ὅπως πεισθεὶς Εὐριπίδῃ ληρεῖς;

book 1136b ἀλλ’ ὀλίγον γέ μοι μέλει: ὁ “ἀλλά” παρέλκει. ὀλίγον ἐμοί, φησί, μέλει καὶ φροντίς ἐστι τῆς σῆς ὕβρεως. ἓν δὲ τὸ λάμβδα.

book 1137 πῶς φῄς μ’ ἁμαρτεῖν;: πρὸς Εὐριπίδην λέγει. τὸ “φῄς” βαρύνων ἢ περισπῶν μὴ πτοοῦ μωμοσκόπους· “φῶ” “φῄς” περισπᾷς· εἰς δὲ τοῦ “φημὶ” “φὴς” βαρεῖαν τιθεῖς, οὐ μὴν καὶ προσγράφεις.

book 1144a οὐ δῆτ’ ἐκεῖνον, ἀλλὰ τὸν ἐριούνιον: τὸ παρὸν δρᾶμα ὅλον, ὡς καὶ προλαβὼν εἶπον, ὁ κωμικὸς ἢ κοιμώμενος ἢ μεθύων συνετάξατο· πλὴν γὰρ τῆς ἐννοίας καὶ τοῦ ζητεῖν ἐξισῶσαι τοὺς πολίτας καὶ εἰρηνεῖν τοῖς λοιποῖς τοῖς κατὰ μέρος ἅπασιν, ὡς καὶ νῦν, φλυαρεῖ, καὶ μέχρι τέλους τοῦτο ποιεῖ. τί γὰρ τοῦτό φησιν· “οὐ δῆτα ἐκεῖνον, ἤτοι τὸν Ἑρμῆν, ἀλλὰ τὸν ἐριούνιον”, ἢ “τὸν ἐριούνιον Ἑρμῆν χθόνιον προσεῖπε”; καὶ μὴν ἐριούνιος καὶ μεγαλωφελὴς Ἑρμῆς ἢ ὁ οὐράνιος ἢ ὁ ἐπίγειος, οὐ μὴν ὁ καταχθόνιος λέγεται. θαυμάσιον ἀστεῖον πίνεις οἶνον, θαυμάσιον.

book 1144b τὸν ἐριούνιον] τὸν μεγαλωφελῆ.

book 1150 ἀνθοσμίαν] εὐώδη.

book 1152 “αἰτῶ” ἐπὶ ἀναποδότων καὶ μὴ ἀντιστρεφομένων λέγεται, “αἰτοῦμαι” δὲ ἐπὶ ἀντιστρεφομένων, ὡς τὸ οὐ πῦρ αἰτῶ οὐδὲ λοπάδ’ αἰτοῦμαι. νῦν δὲ παραχρηστικῶς εἶπεν ἅμα καὶ ἀττικῶς “αἰτουμένῳ” ἀντὶ τοῦ “αἰτοῦντι”.

book 1154 δὶς ταὐτόν: θαυμαστὰ τὰ σύμπαντα καὶ βλησκουνάτα, ἀνηθοσκορδόπαστα κανναβουράτα.

book 1159a χρῆσον: πρὸς χρείαν πάρασχε, δός. διαφέρουσι δὲ “ὑποθήκη” καὶ “παραθήκη”, “δάνειον” καὶ “χρῆσις”· ὑποθήκη μὲν τὸ ἐνέχυρον λέγεται καὶ ἡ συμβουλή, παραθήκη καὶ παρακαταθήκη τὸ δοθέν τινι πρὸς συντήρησιν καὶ φυλακήν, δάνειον λαβεῖν ἀργύριον ἔκ τινος ἐπὶ τόκῳ, ἢ καὶ ἄνευ τόκου, εἰ ὁ δανείζων φιλάνθρωπος ἢ παντεπόπτης, χρῆσις δὲ καὶ κίχρησις τὸ ζητῆσαι παρά τινος πρὸς βραχὺ ἱμάτιον ἢ ἀργυρώματα ἀφικέσθαι πρὸς γαμηλίαν τυχὸν ἢ καὶ ἄλλην ἑστίασιν, ἢ Ζητῆσαι ἵππον ἢ καὶ

book 1159a ἄλλο τι τοιουτοτρόπως.

book 1159b μάκτρα καὶ κάρδοπος ἐκ παραλλήλου ταὐτό· λέγεται δὲ ἡ σκάφη, ᾗ ζυμοῦνται τὰ ἄλευρα.

book 1160a οὐ δῆτα: ἤτοι οὐ ταὐτόν ἐστιν. εἰπόντος δῆθεν Εὐριπίδου· ἥκειν δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι, οὐ δῆτα, φησὶν ὁ Αἰσχύλος, ὦ στωμύλε ἄνθρωπε, οὐ ταὐτόν ἐστιν. ἢ μᾶλλον· οὐ δῆτα τοῦτο, ὦ στωμύλε ἄνθρωπε, ταύτῃ καὶ οὕτως ἔχον ἐστίν, ἤτοι ὡς φῄς, ταὐτόν ἐστιν, ἀλλ’ ἔστιν ἄριστα καὶ ἀρίστως ἔχον τῶν ἐπῶν. εἰ δέ τις τὸ “ταύτ’ ἔστι” “ταύτῃ ἐστίν” ἀκούων καταμομφάζει καὶ αἰτιᾶται, τρισπροσκυνεῖ τοῦτον ὁ Τζέτζης ὡς πανσοφώτατον σχεδογράφον, βίβλους δὲ μήτε

book 1160a ἀνεγνωκότα μήτε ἑωρακότα.

book 1160b οὐ δῆτα τοῦτό γ’] ἤτοι οὐ ταὐτόν ἐστιν.

book 1168 οὐ πιθῶν: ἀττικῶς ἀντὶ τοῦ “πείθων”. κυρίους δὲ τοὺς τὸ κῦρος καὶ τὴν ἐξουσίαν ἔχοντας, ἢ τοὺς κρατοῦντας, ἢ τοὺς δικαστάς, ἢ τοὺς περὶ Τυνδάρεων.

book 1169 εὖ νὴ τὸν Ἑρμῆν: ὁ Διόνυσος πρὸς Εὐριπίδην φησί· καλῶς, μὰ τὸν Ἑρμῆν, Αἰσχύλῳ ἀντιβαίνεις ἀντιλογῶν· τί δὲ τὸ παρὰ σοῦ λεγόμενον, οὐ νοῶ.

book 1170a Εὐριπίδης πέραινε τοίνυν ἕτερον: λέγων τι ἕτερον, Αἰσχύλε, εἰς πέρας τοῦτο ἄγε καὶ τελείου. καὶ ὁ Διόνυσος· ἀνύσας, φησί, καὶ σπεύσας, Αἰσχύλε, πέραινε τι λέγων· σὺ δ’, Εὐριπίδη, ἐς τὸ κακὸν ἀπόβλεπε. τὸ μὲν φαινόμενον· σὺ δὲ τὸ αἰτίαμα τῶν λεγομένων βλέπε, τὸ δ’ ἐν σχήματι· σὺ δ’, Εὐριπίδη, ἐς τὸ κακὸν βλέπε, ἤτοι ὅλος ἔσο κακία καὶ ἀτεχνία ποιητική.

book 1170b πέραινε] λέγων τι τελείου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1172 ὄχθῳ: τῷ τάφῳ, τῷ τύμβῳ, τῷ ἀναχώματι.

book 1220 σφοδροῖς ἀνέμοις πλεόντων, ἤτοι ὑποταγῆναί μοι καὶ ὑποπεσεῖν δοκεῖς τῷ Αἰσχύλῳ. τὸ ληκύθιον γὰρ τοῦτο λιβὸς δίκην ἀνέμου πνευσεῖται πολὺ παρ’ Αἰσχύλῳ, ἤτοι, δοκεῖ μοι, οὐκ ἐάσει τοῦτο Αἰσχύλος προφέρων.

book 1223 ἐκκεκόψεται: ἐκκρουσθῇ, ἀποκοπῇ, ἐπισχηθήσεται, παυθείη.

book 1225 σιδώνιόν ποτ’ ἄστυ: δευτέρου Φρίξου τοῦτό τινες ἀρχὴν εἶναι λέγουσι· ψεύδονται δέ. τοῦ γὰρ πρώτου Φρίξου τοῦτο ἔστιν ἀρχή· δευτέρου δὲ Φρίξου ἀρχή· εἰ μὲν τόδ’ ἦμαρ πρῶτον ἦν κακουμένῳ καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν. κἂν οὐδὲν τούτων τῶν ψυχρῶς ἐνθαδὶ τηθειμένων ἐγίνωσκον, τίς ἡ λύμη; κἀγώ, εἰ μὴ τυχαίως προεσχεδίασα ταῦτα, οὐδὲν ἂν ἐγίνωσκον τούτων, καίτοι σχεδὸν τὰ λοιπὰ τῶν λόγου ἀξίων εἰδὼς ἐπὶ στόματος. τέως τοῦτο ἀρχὴ τοῦ πρώτου Φρίξου ἐστί· σιδώνιόν ποτ’ ἄστυ Κάδμος ἐκλιπών, Ἀγήνορος παῖς, ἦλθε θηβαίαν χθόνα,

book 1225 Φοίνιξ πεφυκώς· ἐκ δ’ ἀμείβεται γένος ἑλληνικόν, διρκαῖον οἰκήσας πέδον. ᾗ δ’ ἦλθεν ἀνάγκῃ πεδία Φοινίκης λιπών, λέγοιμ’ ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι. πρώτου μὲν Φρίξου τοῦτο ἀρχή· τοῦ δὲ δευτέρου Φρίξου ἀρχὴ αὕτη· εἰ μὲν τόδ’ ἦμαρ πρῶτον ἦν κακουμένῳ καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν. καὶ τί δεῖ μακρηγορεῖν πολλάκις; τῇδε ὁ κωμικὸς φλυαρεῖ μέχρι τέλους.

book 1227 ὦ δαιμόνιε: ἀθλιώτατε. ἀποπρίω: ὤνησαι. μὴ διακναίσῃ: κόψῃ, θλίψῃ, λυπήσῃ. διὰ τὸ τί, φησὶν Εὐριπίδης, ἐγὼ ὠνήσομαι λήκυθον τῷδε τῷ Αἰσχύλῳ, ἤτοι ἕνεκα τοῦδε;

book 1231 προσάψαι: προσαρτῆσαι, προσαρμόσαι, κολλῆσαι.

book 1233 θοαῖς ἵπποις: “Οἰνομάου γαμεῖ κόρην.”

book 1234 προσῆψεν αὖθις: προσήρμοσε, προσεκόλλησεν.

book 1235 ἀπόδος: τί μέν φησιν οὗτος καὶ οἱ ἀστραγαλοπαικτοῦντες, μᾶλλον δὲ κοτζοπαικτοῦντες τούτου δῆθεν ἐξηγηταί, οὐ συνίημι. τὸ μὲν γὰρ “ἀπόδος” “τὸ ὃ ἔλαβες δός” σημαίνει κοινοτέρως· ἀττικωτέρῳ δὲ λόγῳ “ἀπόδος” τὸ “ἀπεμπόλησον” λέγεται. οὗτος δὲ νῦν σκοτεινότερον μὲν καὶ οὐκ ἀριδήλως καὶ ἐμφανῶς, τέως δὲ οὕτω δοκεῖ τὸ “ἀπόδος” λαμβάνειν, ἀντὶ τοῦ “ὤνησαι”· ἀπόδος γάρ, φησί, πάσῃ τέχνῃ καὶ παντὶ τρόπῳ, ἤτοι πάντως ὤνησαι, παντοιοτρόπως, ὡς τὸ ἐπαγόμενον δηλοῖ, τὸ “λήψεῖ γὰρ καὶ λάβῃς καὶ ὠνήσῃ δι’ ὀβολοῦ πάνυ καλὴν καὶ ἀγαθὴν λήκυθον”.

book 1238 Οἰνεύς ποτ’ ἐκ γῆς: δράματος Μελεάγρου. ἐγὼ δὲ ὑπὸ τῆς τοσαύτης ἀηδίας καὶ φλυαρίας τῆς ἀπεραντολόγου καὶ μὴ ἐχούσης τι κάρπιμον ἢ ἀστεῖόν τινα γέλωτα, ἐσκοτοδινίασα καὶ καρηβαρῶ καὶ ἐμίσησα ἐμαυτόν, ὅτι τοῦτον ἐπείσθην ἐπεξηγήσασθαι.

book 1240 πολύμετρον λαβὼν στάχυν: πολυφορήσας τῶν σίτων τοῖς γεωργήμασι καὶ καρπῶν ἑτέρων τῆς γῆς “θύων ἀπαρχὰς τοῖς θεοῖς”. ἀπαρχαὶ θυσίαι εἰσί, τὸ ἐκ πάντων τῆς γῆς τῶν καρπῶν τὰ πρῶτα θεοῖς ἀνατίθεσθαι, ἐκ μὲν σίτων ἱεροὺς ἄρτους ποιοῦντας, ἐκ τῶν πρώτων βοτρύων σπονδάς, ἐκ τῶν ὀσπρίων τὰ ἔτνη, τὰς ἀθάρας καὶ τοὺς πελάνους, ἐκ τῶν εὐωδῶν ἀνθέων ὀσφράδια.

book 1243 πρὸς τοδὶ γὰρ εἰπάτω: ἀπὸ τοῦ “εἰπέ” προστακτικῶς “εἰπέτω”, ὡς “λεγέτω”· ἀπὸ δὲ τοῦ “εἶπον” “εἰπάτω”, ὡς “γραψάτω.”

book 1247 σῦκον πάθος ἑλκῶδές ἐστι τοῖς ὀφθαλμοῖς εἰωθὸς ἐπιφύεσθαι, ὃ παρὰ τῶν ἰατρῶν σύκωμα καλεῖται. φησὶν οὖν ὁ Διόνυσος Εὐριπίδῃ, ὅτι, ὃν τρόπον τὸ ἕλκος τὸ καλούμενον σύκωμα εἴωθεν ἐπιφύεσθαι ὀφθαλμοῖς, οὕτω καὶ τὸ ληκύθιον εἴωθεν ἐπιφύεσθαι, ἤτοι προσφυῶς τίθεσθαι, σοῦ τοῖς προλόγοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1248 ἀλλ’ ἐς τὰ μέλη αὐτοῦ: ἤτοι τὰς μελοποιίας καὶ τὰ μελῳδικὰ ὑπορχήματα τράπηθι.

book 1249 καὶ μὴν ἔχω γ’ ὡς αὐτὸν ἀποδείξω κακόν: καὶ μὴν ἔχω, φησὶν ὁ Εὐριπίδης, καὶ δύναμαι, ὡς αὐτὸν ἀποδείξω κακὸν μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ’ ἀεί, τὰ μέλη δηλονότι· ἀπὸ κοινοῦ τὸ “κακῶς”.

book 1251 τί ποτε πρᾶγμα γενήσεται;: ὁ χορὸς ἀκηκοὼς παράγεται δῆθεν περὶ τοῦ Αἰσχύλου φροντίζων καὶ λέγων· τί ἄρα πρᾶγμα—οὐ τὸ δυσχερὲς νῦν, ἀλλὰ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον—τί πρᾶγμα γενήσεται; φροντίζω γάρ, ποίαν μέμψιν Εὐριπίδης ἐπάξει τοιούτῳ ἀνδρί, τῷ πλεῖστα δὴ καὶ κάλλιστα μέλη ποιήσαντι τῶν ἔτι νῦν ὄντων· τῷ Αἰσχύλῳ, τῷ ποιήσαντι πλεῖστα καὶ κάλλιστα καὶ καλλιστότερα μέλη καὶ ᾄσματα, ἢ τῶν ᾀσμάτων τῶν ἔτι νῦν ὄντων, ἢ τῶν ποιητῶν. τὸ “κάλλιστα” ὑπερθετικὸν ἀντὶ συγκριτικοῦ, τοῦ “καλλιστότερα”· τὰ γὰρ ὑπερθετικὰ σύγκρισιν οὐκ ἐπιδέχεται, ἀλλ’ αὐτὰ καθ’ ἑαυτὰ λέγονται· ἄριστα, κάλλιστα, σοφώτατα· οὐ μὴν “τὰ Φειδίου ἄριστα Δαιδάλου” λέγεις, ἢ “κάλλιστα” ἢ “σοφώτατα τὰ γραφέντα τῷ δεῖνι τοῦ δεῖνος”.

book 1259 τὸν βακχεῖον ἄνακτα: τὸν Αἰσχύλον, τὸν βακχεῖον καὶ διονυσιακὸν ἄνακτα, θεόν, βασιλέα ὑπερέχοντα. Βάκχος γὰρ ὁ Διόνυσος ἐλέγετο, ἀπὸ τοῦ βακχεύειν καὶ ἐνθουσιᾶν τοὺς ἑπομένους αὐτῷ βάκχους καὶ βάκχας σειληνούς τε καὶ σατύρους· καὶ οἱ κωμικοὶ δὲ καὶ οἱ τραγικοὶ εἰς τιμὴν Διονύσου ἐν τοῖς Διονυσίοις, ἃ ἐτελεῖτο ἐν ἔαρι, τὰ ἑαυτῶν διδάσκοντες ἦσαν συγγράμματα.

book 1262 εἰς ἓν γὰρ αὐτοῦ: ἑνὶ γὰρ λόγῳ, ὅ φασιν, ἤτοι παντελῶς καὶ συντόμως πάντα συντεμῶ καὶ συγκόψω τὰ μέλη αὐτοῦ· ἤ, ὡς οἱ παλαιοὶ δῆθεν δοκοῦσιν, εἰς τὸ “ἰήκοπον.”

book 1263 καὶ μὴν λογιοῦμαι: ἀπαριθμήσω, ψηφίσω διὰ τῶν ψήφων ταῦτα λαβὼν καὶ γνούς.

book 1264 Φθιῶτ’ Ἀχιλεῦ. “διαύλιον προσαυλεῖ τις: διαύλιον δὲ λέγεται, ὅταν ἡσυχίας πάντων γενομένης ἔνδον αὐλητὴς ᾄσῃ· ἔστι δὲ τὸ σχῆμα παρεπιγραφή”. τὰ δὲ ῥητὰ Μυρμιδόνων Αἰσχύλου.

book 1265 ἰήκοπον: ὡς ἐφυμνίῳ τούτῳ, φασί, χρῆται· Τζέτζης δέ φησι τὴν διὰ ἰῶν καὶ βελῶν κοπῆς ἔχουσαν τὴν βοήθειαν.

book 1266 Ἑρμᾶν μὲν πρόγονον: ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν· προφέρεται δὲ οὐ καθεξῆς οὐκ ἐφεξῆς τὰ μέλη, ἀλλ’ ὡς ἔτυχεν ἄλλο ἄλλοθεν, καὶ ἐπιλέγει τὸ “ἰήκοπον”. ὡσαύτως εὕρῃς τοῦτο τοῖς ἔμπροσθε κἂν τοῖς εὐριπιδείοις ποιοῦντα καὶ ἄλλο ἄλλοθε φύροντα καὶ πεφυρμένως λέγοντα καὶ μεταπεφρασμένως τὰ πλείω· καὶ μήτε πόθεν εἰσὶ τὰ ῥητὰ ζήτει, μήτε τίνα νοῦν ἔχουσιν. ἀφεὶς γὰρ εἶναι ὁ ἄνθρωπος, οἷος ἦν ἔν τε τῷ Πλούτῳ καὶ ἐν Νεφέλαις, στερρός, σοφός, συνετός, δεξιός, ἐπεσβολώτατος, δεξιὸς μετὰ τοῦ κοσμίου, εἰς ἀγοραῖον ἀθρόως ἐξεκυλίσθη καὶ κάπηλον, ἢ πλέον εἰπεῖν ληροῦντά τινα μεμεθυσμένα τε καὶ παράφορα.

book 1269 κύδιστ’ Ἀχαιῶν, Ἀτρέως: Τιμαχίδας ἐκ Τηλέφου τοῦτό φησιν Αἰσχύλου, Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.

book 1273 μελισσονόμοι: οἱ παλαιοί φασιν· “οἱ διανέμοντες τὰ τῆς πόλεως, ἢ οἱ οἰκοῦντες ἐν τῇ πόλει”. ἐγὼ δ’ ἐφ’ οἷς οὐκ οἶδα λέγειν, σιωπᾶν οὐκ αἰδοῦμαι.

book 1276 κύριός εἰμι θροεῖν: ἐξ Ἀγαμέμνονος Αἰσχύλου.

book 1280 τὼ νεφρὼ βουβωνιῶ: βουβώνων πεπλήρωμαι. βουβῶνες δέ εἰσι φύματα ὀγκώδη ἐκ κόπων ἢ καὶ ὕλης μοχθηρᾶς εἰωθότα φύεσθαι τοῖς κοίλοις μηρῶν μέρεσι καὶ ἀγκάλαις· εἰ δὲ καὶ νεφροῖς ἐπιφύονται, οὐ συνίημι.

book 1281 στάσιν μελῶν: στάσιμον μέλος, ὃ ᾄδουσιν ἱστάμενοι οἱ χορευταί.

book 1282

Eulogikon public reading copy · View original HTML at eulogikon.org

“ἐκ τῶν κιθαρῳδικῶν νόμων: Τιμαχίδας γράφει· ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταμένῳ.” οὐδὲν νῦν ἐμὸν γράφω οὐδὲ γράψω, εἰ μή που ἄρα τι εὕροιμι λόγου ἐχόμενον.

book 1284 “ὅπως Ἀχαιῶν: Εὐριπίδης ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπαρμένα λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων.”

book 1286 “τὸ φλαττόθρατ: τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιόν· τινὲς δὲ σημειοῦνται αὐτό, ὅτι τῶν διορθωτῶν τινες περιεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις.”

book 1291 κυρεῖν] ἐπιτυχεῖν.

book 1292 ἰταμαῖς] ταχείαις, πικραῖς, σκληραῖς.

book 1294 τὸ συγκλινές] ἐκ Θρῃσσῶν.

book 1296 τὸ φλαττόθρατ τοῦτ’ ἐστίν; ἐκ Μαραθῶνος: τὸ φλέως ἔνυδρος βοτάνη παπυρώδης· ἐπεὶ δὲ ἐν τῷ Μαραθῶνι ἐλώδει ὄντι πολὺς ὁ πολὺ τὸ φλέως ἐστίν, παίζων πρὸς τὴν ταυτότητα τῆς ἀπηχήσεως τοῦ “φλέω” καὶ τοῦ “φλαττόθρατ” φησί· μὴ φλέως ἐστὶν ἐκ Μαραθῶνος; τοῦτο δὲ καθ’ ἡμᾶς μίμημα κρούματος κιθάρας ἐστίν, ὡς καὶ τὸ “βλίτυρι” καὶ “θρεττανελό” καὶ ἕτερα.

book 1297 ἱμονιὰ τὸ τῶν ἀντλημάτων σχοινίον, καὶ τὸ ᾆσμα, ὃ ᾄδουσιν οἱ ἀντληταί, ἱμαῖον. Καλλίμαχος· ἀείδει καί πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον.

book 1298 ἀλλ’ οὖν ἐγὼ μὲν: ἐγὼ μὲν ἐκ τοῦ καλοῦ καὶ δεξιοῦ ποιητοῦ Φρυνίχου, ἢ ἐκ τοῦ καλοῦ, ἤτοι τοῦ κιθαρῳδικοῦ νόμου, ἐς τὸ καλὸν καὶ τὸ τεχνικὸν τὸ τῆς τραγῳδίας ἤνεγκα, ἤνεγκον, ἵνα μὴ φαινοίμην ταὐτὰ λέγων Φρυνίχῳ.

book 1301 οὗτος δ’ ἀπὸ πάντων: οὗτος δ’ ὁ Εὐριπίδης τὰ χορικὰ μέλη αὐτοῦ φέρει ἀπὸ θρήνων χορείων καὶ χοροστατικῶν—θρήνων δὲ τίνων; πορνιδίων—ἐκ τῶν σκολιῶν, καρικῶν αὐλημάτων θρηνητικῶν, τοῦ τραγικοῦ ποιητοῦ Μελίτου, ψυχροτάτου περὶ τὴν ποίησιν. οἱ δὲ νομίζοντες τοῦτον εἶναι τὸν κατὰ Σωκράτους ἐκθέμενον ἀσεβείας γραφὴν ἁμαρτάνουσιν· Εὐριπίδης γὰρ μιᾷ γενεᾷ ἦν Σωκράτους καὶ τοῦ Μελίτου ἐκείνου ἀνώτερος. πῶς οὖν ἐζήλου τοὺς μέλλοντας γενέσθαι;

book 1301 σκολιὰ δὲ λέγονται τὰ παροίνια ᾄσματα· τὰ δὲ καρικὰ αὐλήματα καὶ μέλη θρηνώδη ἐστίν.

book 1305 ποῦ ’στιν ἡ τοῖς ὀστράκοις: Αἰσχύλος λύραν λαβεῖν ἔμελλε καὶ πρὸς αὐτὴν ᾆσαί τινα μέλη τοῦ Εὐριπίδου· συνεὶς δέ, ὡς ᾄδεσθαι πρὸς λύραν ἀνάξια ταῦτά εἰσι· ποῦ ’στιν, φησίν, ἡ τοῖς ὀστράκοις αὕτη κροτοῦσα καὶ κροτουμένη Μοῦσα τοῦ Εὐριπίδου; δεῦρο καὶ ἐλθέ· ἢ δεῦρο καὶ ἐνταῦθα, δηλονότι ἐλθέ, λείπει δὲ ἀττικῶς τὸ “ἐλθέ.” πρὸς ἣν ὀστρακοκρότητον Μοῦσάν ἐστι τὰ μέλη τάδε ἐπιτήδεια ᾄδειν ἤτοι ᾄδεσθαι.

book 1306 κροτοῦσα] κροτουμένη.

book 1308 “αὕτη ποθ’ ἡ Μοῦς’ οὐκ ἐλεσβίαζε;: λεσβιάζειν τὸ παρανόμως πλησιάζειν· διεβάλλοντο γὰρ ἐπὶ τούτῳ οἱ Λέσβιοι· καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ Χείρωνι· δώσει δέ τοι γυναῖκας ἑπτὰ Λεσβίδας. καλὸν τὸ δῶρον, ἑπτ’ ἔχειν λαικαστρίας.”

book 1309 “ἀλκυόνες, αἳ παρ’ ἀενάοις: χαρακτηρίζουσι τὰ Εὐριπίδου μέλη ὡς ἐκλελυμένα”.

book 1310 “κύμασι στωμύλλετε: πάλιν εἰς αὐτὸν παίζει· ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα συντίθησι καὶ οὐδὲν κατὰ τὸ ἑξῆς λέγει μέλος. ἔστι δὲ τὸ προκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι”.

book 1311 “τέγγουσαι πτεροῖς: τὸ ἑξῆς· νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι.”

book 1315 ἱστότονα: τὰ ἐν τοῖς ἱστοῖς τεινόμενα καὶ ἐξαπλούμενα. πηνίσματα: κλώσματα καὶ ὑφάσματα· ἐκ τοῦ “πένω” τὸ “ἐνεργῶ”.

book 1318 πρῴραις κυανεμβόλοις: ἐκ Τρῳάδων, πλέον δ’ οἶμαι ἐξ Ἀνδρομάχης· πρῷραι ναῶν ὠκεῖαι δι’ ἅλα πορφυροειδέα καὶ λιμένας Ἑλλάδος· καὶ 〈μετά〉 τι βραχύ· πλεκτὰν Αἰγύπτου παιδείαν ἐξηρτήσασθε· αἶ αἶ τὰν Μενελάου μετανισσόμεναι στυγνὰν ἄλοχον, Κάστορι λώβαν τῷ τ’ Εὐρώτᾳ δύσκλειαν· καὶ εἰ γράφειν ἔμελλον ἀπὸ στήθους ταυτὶ λέγων, ἐμέστωσα ἂν τὴν παροῦσαν σελλίδα.

book 1320 οἰνάνθας γάνος: οἱ παλαιοὶ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου· οἰνάνθας τρέφει τὸν ἱερὸν βότρυν. δοκῶ δὲ προσφυέστερον καὶ πλησιαίτερον εἶναι τὸ ἐν Φοινίσσαις· οἴνα θ’, ἃ καθαμ[έριο]ν στάζεις τὸν πολύκ[αρπο]ν οἰ]νάνθας ***

book 1322 περίβαλ’, ὦ τέκνον, ὠλένας: ἐκ Φοινισσῶν ταῦτα παραπεποίηται, ἐξ ὧν Ἰοκάστη πρὸς Πολυνείκην εἶπεν.

book 1323 ὁρᾷς τὸν πόδα τοῦτον;: φασὶν οἱ παλαιοί· “ὡς καὶ τοιαῦτα ἀμοιβαῖα ἐν τοῖς μέλεσιν ἐπιτηδεύοντος Εὐριπίδου.”

book 1328 Κυρήνης μελοποιῶν: Κυρήνη τις ἑταίρα ἐπίσημος, δωδεκαμήχανος ἐπικαλουμένη διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἐστὶ δὲ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου· ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον. ἐμοὶ δὲ νῦν θαυμάζειν ἔπεισι πάνυ, πῶς οἱ σχολιογράφοι οὗτοι οἱ παλαιοὶ ὄπισθεν ἐν λόγοις σπουδαίοις καὶ ἀξιεξηγήτοις τῷ ὄντι, βραχύ τι φθεγξάμενοι ἢ καὶ οὐδέν, νῦν, ὅτε τράγον οὗτος ἀμέλγει, ὑποτιθέασιν οὗτοι κόσκινα, τὸ ἐκ τοῦ τράγου ἀμελχθησόμενον γάλα συνέξοντες, καὶ βοῶσι καὶ παταγοῦσι διδάσκοντες, πῶς δεῖ τοῦτο ταλάροις τισὶ καὶ θρέψαι καὶ ἐκτυρῶσαι. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,

book 1328 ἀλιτηρίῳ ἀνθρώπῳ εἰκαῖα ληροῦντι πείθεσθε καὶ συμπεριφέρεσθε; νὴ τὴν ἀλήθειαν, εἰ μέλη παρεθέμην θρηνώδη τινὰ Εὐριπίδου, εἰς δάκρυα ἂν ὑμᾶς παρεκίνησα. καὶ τῆς σαφηνείας ὁ ἄνθρωπος καὶ τῆς δεξιωτάτης ἑνὸς ἑκάστου δράματος ἀφηγήσεως καὶ προοιμίων καὶ τῶν λοιπῶν μερῶν οὐ μόνον ἐστὶν οὐ κατάμομφος, ἀλλὰ καὶ ἀξιεπαίνετος· ὁ Αἰσχύλος δὲ καὶ ὑπέρευγε, πλὴν μέντοι τοῦ κρημνολεκτεῖν καὶ χαίρειν ἄγαν τῇ ἀσαφείᾳ. ὁ δ’ Εὐριπίδης τὸ ἀνοικειοπρόσωπον ἔχει ἐπίληπτον καὶ τὸ ἐναντιοῦσθαι αὐτὸς ἑαυτῷ ἐν πολλοῖς καὶ ἄλλα ἄττα βραχέα, ἅπερ εἰ θέλοι τις ἀκριβῶς γνῶναι, ἀναλεξάσθω βίβλον ἐμήν, ἐν ᾗ παντοίων σοφῶν πραγματείας ὑπέβαλον λογισμοῖς, Εὐριπίδου μὲν δράματα πεντήκοντα δύο, καὶ

book 1328 ἑτέρων παντοίας τέχνης σοφῶν βίβλους ἑκατὸν ἐννεακαίδεκα· ὧν πασῶν λογισμοὺς βίβλος μία ἐμοῦ περιέχει στίχοις ἰάμβοις τοῖς πλείοσιν, οὐκ ὀλίγοις δὲ καὶ μέτρων ἑτέρων· καὶ ἕτεραι δὲ βίβλοι σποράδην ἐμοὺς ἔχουσιν ἑτέρων σοφῶν λογισμούς, οὐ μάτην καὶ ἀναιτίως οὐδὲ κατ’ ἔχθραν ἐπεμβαίνοντός μού τινων, ἀλλά τινας μὲν ἐλέγχοντος τοῦ περὶ τὴν τέχνην ἕνεκα πλημμελοῦς καὶ τοῦ διαμαρτάνειν πραγμάτων ἢ χρόνων, ἢ αὐτοὺς λέγειν ἑαυτοῖς ἐναντία, οὐκ ὀλίγους δέ, ὥσπερ τὸν Σταγειρόθεν καὶ Γαληνὸν καὶ τὸν Πλούταρχον καὶ οὐ βραχεῖς ἑτέρους τοιούτους, ὅτι τε κατὰ πυρπνόων ἀνδρῶν εὐεργετῶν καὶ σφῶν διδασκάλων ἐξοιστρηκότες, κριοί τινες κατεφάνησαν ἀντιτετικότες τροφεῖα, καὶ ὅτι, ὅσα τοξεύματα δι’ ἄκραν δυσμένειαν, ὡς ἐλέγχει τὰ πράγματα, κατὰ τῶν θείων ἐκείνων ἀνδρῶν κατετόξευσαν, κατὰ τῶν ἑαυτῶν “κεφαλῶν ῥήϊστα

book 1328 φέρονται”· “λάκκους” γὰρ “ὤρυξαν καὶ ἀνέσκαψαν αὐτούς, καὶ ἐμπεσοῦνται εἰς βόθρους, οὓς εἰργάσαντο”, φησὶν ὁ προφήτης· “συνελήφθησαν οἱ ἁμαρτωλοὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν”· “ἐν παγίδι, ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν”, “καὶ ἐπὶ κορυφὴν αὐτῶν ἡ ἀδικία αὐτῶν καταβήσεται”. ταύτην ἐμοῦ τὴν βίβλον ἀναλεξάμενος, ὅστις ἄν γε βούλοιτο, Αἰσχύλου τε εὕροι καὶ Εὐριπίδου καὶ ἄλλων πολλῶν αἰτιάματα, πλημμελείᾳ τῇ περὶ τὴν τέχνην καὶ τὴν ἀλήθειαν ὑποπεπτωκότας τοῖς λογισμοῖς, οὐ μέντοι διὰ ψευδοῦς γελοιάζουσαν κωμῳδίαν οὐδὲ

δυσμένειαν. ad l. ca. 50) σημείωσαι· ἀνέγνων δὲ νζʹ βίβλους καὶ τὸν νοῦν πάντα συνοπτικῶς ἔγραφον πανδήμοις στίχοις.

book 1331 "ὦ Νυκτὸς: Ἀσκληπιάδης· παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου, ἐν μιμήσει δηλονότι· ὦ στεροπὰ Διός, ὦ σκοτία Νύξ."

book 1339 κάλπισί τ' ἐκ ποταμῶν: πρὸς τὰ ἐν Ἱππολύτῳ· "βαπτὰν κάλπισι". τί δὲ ἀγοραίαν ἀτερπῆ στωμυλίαν δέον ἐστὶ γράφειν;

book 1340 ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω: οἱ πρῷ σιωπηλοὶ νῦν λαλεῖν οὐκ αἰσχύνονται· φασὶ γὰρ καὶ τοῦτο μιμεῖσθαι Αἰσχύλου· "τοῦτο δὲ λέγει, παρόσον ἀποδιοπομπεῖσθαι εἰώθασι τοὺς χαλεπωτάτους τῶν ὀνείρων." ὁρᾷς, ὅπως μὲν οὗτος εἰς ἀμολγὴν κατέχει τὸν τράγον, οὗτοι δ' ὑποτιθέασι νῦν κόσκινα καὶ βοῶσι τούτοις τὸ τράγειον γάλα κατασχεῖν θέλοντες; ὦ γενναῖοι, τούτοις πᾶσιν οὐκ Αἰσχύλον, ἀλλ' Εὐριπίδην διασύρει· καὶ ἔστι τοῦτο μεταποιηθὲν ἐξ Ἑκάβης· ποῦ ποτε θείαν Ἑλένου ψυχὰν καὶ Κασσάνδρας ἐσίδω, Τρῳάδες, ὥς μοι κρίνως' ὀνείρους; καὶ τὸ ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς πέμψατε, δαίμονες, ἱκετεύω. (mrg. Αἰσχύλου ⁒) ἢ τοῦτο ὄν· "ἀπομιμεῖται Αἰσχύλος", ὁ βιβλογράφος "Αἰσχύλου" γράψας τὸ ὅλον ἠχρείωσεν.

book 1341a ἰώ, πόντιε δαῖμον: κυανέαις ἵπποισι διφρεύων ἅλιον πέλαγος· Τρῳάδων Εὐριπίδου· καὶ εἴ μέ τις ἑώρα, πῶς ταῦτα γράφω, ἐνέπλησα ἂν πάντας τοὺς χάρτας. οὐκ ἔδει ληροῦντος ἐνθάδε τἀνδρὸς ὑμᾶς φθέγγεσθαί τι· μᾶλλον δὲ πρῴην σιγῶντες νῦν ἀθυρογλωττεῖτε.

book 1341b τοῦτ' ἐκεῖνο: τοῦτο ἐξ Ὀρέστου Εὐριπίδου μεταπεποιημένον ἐστίν· οἴμοι, προσῆλθεν ἐλπίς, ἣν φοβουμένη πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.

book 1350 ἀποδοίμαν] πωλήσαιμι.

book 1354 δάκρυα δάκρυα: νῦν γυργαθῶντα τουτονὶ λαλεῖν ἄφες· οὐδὲν γὰρ ἀληθείας φησὶν ἢ τάξεως ἐχόμενον, ἀλλὰ παρασπάσματά τινα καὶ πλάσματα. ταῦτα δέ, δοκῶ, πρὸς τὰ ἐξ Ὀρέστου φησὶ τάδε· ὅθι δάκρυα δάκρυσι συνέπεσεν ἔπεσεν [ἀμφὶ] τὰς Σκαμάνδρου δίνας· καὶ δακτύλους ἔβαλεν ἔβαλεν ἐς κόμας.

book 1356 Κρῆτες, Ἴδας τέκνα: ἔστι γὰρ [Ἴδ]η [ὄρος ἐν] τῇ Κρήτῃ.

book 1358 τὰ κῶλα πάλλετε: τοὺς μηρούς, τοὺς πόδας· ἤτοι κινεῖσθε, βαδίζετε, τρέχετε.

book 1359 Δίκτυννα: ἐπίθετον Ἀρτέμιδος, ἐξ αἰτίας τοιᾶσδε. Βριτόμαρτις συγκυνηγὸς ἦν Ἀρτέμιδος, ἧς ἐρασθεὶς Μίνως κατεδίωκεν. ἡ δὲ διωκομένη ἔκ τινος ἀκρωτηρίου αὑτὴν ἀπεώσατο εἰς θάλασσαν· βοηθησάσης δὲ τῆς Ἀρτέμιδος δικτύοις ἁλιέων ἐσώθη κατασχεθεῖσα· καὶ Δίκτυννα οὕτως ἐκλήθη ἡ Ἄρτεμις.

book 1362 ἡ Ἑκάτη ἡ αὐτὴ τῇ Σελήνῃ ἐστίν. τινὲς δὲ δαίμονα ταύτην εἶναί φασι πελωρίαν καὶ καταπλήττουσαν.

book 1363 φωράσω] κατασκοπήσω, ἐρευνήσω.

book 1366a νῷν: ὑμῶν. δευτέρου φησὶ προσώπου καὶ Διονύσιος ἐν τῇ γραμματικῇ τέχνῃ· ὁ δὲ τεχνογράφος πᾶσιν λόγων ἀφορμὰς καὶ βαθρεύματα τέχνης διδούς, μὴ κυριολογῶν μὲν τὸ "σφῶε" ἐπὶ δευτέρου καὶ τρίτου δέχεται προσώπου, κυριολογῶν δὲ τὸ μὲν "νῶε" "νῶϊ" πρώτου προσώπου δέχεται, τὸ δὲ "σφώ" δευτέρου, ὡς ἐν τῇ Λάμβδα ῥαψῳδίᾳ φησὶ Νέστωρ πρὸς Πάτροκλον· ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλεν ἤματι τῷ, ὅτε ς' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε·

book 1366a νῶϊ δ' ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς, πάντα μάλ' ἐν μεγάροισιν ἀκουέμεν ὡς ἐπέτελλεν· καὶ κατωτέρω· σφῶϊ μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶϊ δ' ἔπειτα στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλεύς· καὶ κατωτέρω· ἦρχον ἐγὼ μύθοιο κελεύων ὔμμ' ἅμ' ἕπεσθαι· σφὼ δὲ μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.

book 1366b ὅπερ] ὅσπερ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1367 βασανιεῖ] κρινεῖ.

book 1369 τυροπωλῆσαι: τυροπωλικῶς κρῖναι· οἱ γὰρ τυροπρατοῦντες σταθμῷ τὸν τυρὸν πιπράσκουσιν.

book 1374 μὰ τόν: τὸ ἐλλειπτικῶς ὀμνύειν, μὴ τιθέντας ὄνομα τοῦ ὀμνυμένου, ἀλλὰ μόνον λέγειν "μὰ τόν", ἀττικῆς διαλέκτου.

book 1375 τῶν ἐπιτυχόντων: τῶν παρόντων ἐκεῖσε καὶ θεατῶν γεγονότων τοῦ πράγματος.

book 1376/77 ἀλλ' ᾠόμην ἂν ἑαυτὸν: λείπει ἡ "εἰς", ἤτοι εἰς ἑαυτόν. ἤ· ἀλλ' ᾠόμην ἂν ἑαυτὸν καὶ αὐτὸν τὸν λέγοντα, κἂν Ἡρωδιανός φησιν· "ἑαυτὸν πρώτου προσώπου οὐ δεῖ λέγειν· τὸ γὰρ "ἕ" τρίτου προσώπου ἐστίν"· τὸν ὃν ἐκεῖσε πλατυγραφήσας ἐξήλεγξα.

book 1378 τὼ πλάστιγγε: πλάστιγγές εἰσι τοῦ ζυγοῦ τὰ πεταλώδη πινάκια, ἐν οἷς αἱ ὁλκαὶ καὶ τὰ σταθμώμενα τίθενται.

book 1379 καὶ λαβομένω: καὶ ἐπιλαβόμενοι δηλονότι τῆς πλάστιγγος ἑκάτερος, εἷς εἷς ἐκ τῶν δύο, εἴπατον τὸ ῥῆμα.

book 1380 καὶ μὴ μεθεῖσθον: καὶ κατάλειψιν ποιεῖσθε τῆς πλάστιγγος, ἔστ' ἂν ἐγὼ κοκκύσω καὶ "κόκκυ," ὡς οἱ ἀλεκτρυόνες, βοήσω.

book 1381 "τὸ ἔπος", "τοὔπος", καὶ "τὸ ἔργον", "τοὔργον", καὶ τὰ ὅμοια ὄξυνε, μὴ περίσπα· "τοῦ΄πους" δὲ καὶ "τοῦ΄ργου" περίσπα μὲν τὰ "του" καὶ ὄξυνε δὲ "ἔπος", "ἔργον"· ἀλλὰ καὶ "τοῦ΄πος εἰπόντος" καὶ "τοῦ΄ργον πράξαντος", νοῶν "τοῦ εἰπόντος" καὶ "τοῦ πράξαντος" λέγειν, περίσπα καὶ ὄξυνε.

book 1383 βούνομοί τ' ἐπιστροφαί: αἱ ἐπιστροφαὶ καὶ πεδιάδες, ἃς ἐπιστρεφόμενος περιρρέει ὁ Σπερχειός. βούνομοι δὲ αἱ ὑπὸ βοῶν νεμόμεναι, ἤτοι βοοτρόφοι. ἤ· αἱ νεμόμεναι καὶ μοιραζόμεναι καὶ σχιζόμεναι ἀρότροις ὑπὸ βοῶν, ἤτοι γεωργούμεναι.

book 1386 ἐριοπωλικῶς: οἱ τὰ ἔρια γὰρ πιπράσκοντες ταῦτα ἰκμαίνουσιν ὕδασιν, ὡς ἂν πρὸς ὁλκὴν καὶ σταθμὸν βριθυρεπέστερα γίνοιντο.

book 1391 οὐκ ἔστι Πειθοῦς: Ἀντιγόνης Εὐριπίδου.

book 1392 μόνος θεῶν Θάνατος: ἐκ Νιόβης Αἰσχύλου.

book 1400 βέβληκ' Ἀχιλεὺς: Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι, ὡς Εὐριπίδου τοῦτο πεποιηκότος.

book 1402 σιδηροβριθές: ἐκ Μελεάγρου.

book 1403a ἐφ' ἅρματι: ἐκ Γλαύκου Ποτνιέως—τοπικόν—Αἰσχύλου.

book 1403b ἅρματι] ἅρματος.

book 1406 οὐδ' ἑκατὸν Αἰγύπτιοι: Αἰγύπτιοι καὶ Φοίνικες πάλαι βίον ἐμπορικὸν μετιόντες, μεγάλαις ναυσὶ φορτία βαρύτατα τῇδε κἀκεῖσε μετακομίζοντες διεπίπρασκον.

book 1408 Ὁ Κηφισοφῶν πολλάκις ἐρρήθη.

book 1411 ἄνδρες σοφοί: οἱ ἄνδρες, φησί, σοφοὶ ὑπάρχουσιν.

book 1413a τὸν μὲν ἡγοῦμαι σοφόν: τὸν Αἰσχύλον.

book 1413b τῷ δ' ἥδομαι: τῷ Εὐριπίδῃ. καὶ τῷ μὲν φαινομένῳ "τοῦ δὲ Εὐριπίδου τοῖς λόγοις εὐφραίνομαι ὡς γλυκέσι," τῷ δὲ ἐν σχήματι "τῷ δὲ γελῶ, ἤτοι τὸν Εὐριπίδην ὡς ἰδιωτικὰ γράφοντα γελῶ."

book 1422 τέσσαρες Ἀλκιβιάδαι γεγόνασιν· οὗτος δέ, περὶ οὗ νῦν φησι, πρῶτον μὲν ὑπ' Ἀθηναίων ἐφυγαδεύθη· πρὸ ἑνὸς δὲ ἐνιαυτοῦ τῆς διδασκαλίας τοῦδε τοῦ δράματος τῶν Βατράχων κατελθών, διὰ δὲ τὸ πιστεῦσαι τὸ ναυτικὸν Ἀντιόχῳ τῷ κυβερνήτῃ καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου δυσχερανθεὶς ὑπ' Ἀθηναίων, δεύτερον τοῦτο ἑκοντὶ πρὸς Λακεδαιμονίους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποκεχωρηκώς, ἔπεισεν αὐτούς· καὶ Ἀθηναίοις Δεκέλειαν ἐπετείχισαν· ἀπετείχισαν· καὶ τελέως πταῖσαι τοὺς Ἀθηναίους οὕτως ἐποίησεν.

book 1423 ἡ πόλις γὰρ δυστοκεῖ: ἢ μεγάλας ἀλγηδόνας ἔχει ἕνεκα τούτου, ὥσπερ γυνή τις δυστοκοῦσα ὀδύνας ἔχει βαρείας· καὶ τὸ μὲν ἄριστον τοῦτο· τὸ δ’ ἐν σχήματι καὶ ἀστεῖον τοιοῦτον. λέγεται ὡραῖος ὢν ὁ Ἀλκιβιάδης καὶ περιμάχητος γυναιξὶν οὐ μόνον πολλὰς διαφθεῖραι τῶν Ἀθηναίων, ἀλλὰ καὶ Λακεδαιμονίων γυναῖκας. ἕνεκα οὖν τοῦ γελοίου καὶ περὶ τούτου φησίν, ὡς τὴν πόλιν δῆθεν καὶ οὕτω ποιήσαντος δυστοκεῖν.

book 1425 “ποθεῖ μέν, ἐχθαίρει δέ: παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν, ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησί· σιγᾷ μέν, ἐχθαίρει δέ, ὡς τύραννον.”

book 1427 μισῶ πολίτην: Εὐριπίδης μηδόλως φησὶν Ἀλκιβιάδην παραδέχεσθαι.

book 1430 ὦ Πόσειδον: οἶμαι, ταῦτά εἰσιν ἐκ Ποσειδῶνος δράματος Εὐριπίδου.

book 1431 οὐ χρὴ λέοντος: ὁ μὲν Εὐριπίδης μηδόλως εἶπε δέξασθαι τοῦτον· ὁ δὲ Αἰσχύλος φησί· καλὸν μὲν μὴ δέξασθαι τύραννον, ἢ καταδεξαμένους θεραπεύειν.

book 1437 “εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ: ὁ Κινησίας λεπτὸς ἦν· ὁ δὲ Κλεόκριτος μοχθηρός. φησὶν οὖν, ὅτι, εἴ τις ἀντὶ πτερῶν Κλεοκρίτῳ Κινησίαν παραβάλοι, ὥστε φέρεσθαι μεταρσίοις, συμβήσεται αὐτοὺς ὀλέσθαι αὐροφορήτους γινομένους.” οὐ γυργαθῶντός τ’ αὐτοῦ καὶ μεμηνότος, τίς νοῦς ἐν αὐτοῖς, ἡδονὴ τίς, ἢ γέλως, εἰς ἀκροατὰς κοσμίους καὶ σώφρονας;

book 1440 ὀξίδας: ὀξυβάφους κατέχοντες ῥαίνοιεν ὄξει τοὺς πολεμίους. ὀξίδες δὲ κεράμια σμικρά· ἢ εἶδος λοπάδος ἡ ὀξίς. “ταῦτα δὲ ἠθετημένα οὐ μετρίως νομίσειεν ἄν τις ἐνδιασκευάσθαι· καὶ γάρ ἐστι φορτικά. τὰ δὲ ἑξῆς κείμενα πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει.” ὁρᾷς, ὅτι καὶ οἱ παλαιοὶ οὗτοι νῦν ἀποθέμενοι τὸν εἰς ἐξηγήσεις ἐκ ῥᾳθυμίας γινόμενον ὕπνον, τζετζικώτερον μικρὸν ὅσον ἐγρηγορότες ἐφάνησαν, γνόντες ταυτὶ οὐ μετρίως ἠθετημένα καὶ φορτικά, κἂν ὁπωσδήποτε νυσταλέαν καὶ κάθυπνον τὴν φύσιν λαχόντες, πάλιν καρωτικὸν καὶ κωματιζ 〈όμεν〉 ον ναρ〈κω〉 τικώτερον, ὡς ὁρᾷς, ἤρξαντο καταφέρεσθαι, ὑπνοδεσμήτοις τοῖς ὀφθαλμοῖς καὶ

book 1440 τῇ γλώττῃ φθεγγόμενοι· “τὰ δὲ ἑξῆς κείμενα πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει.” ἀλλ’, ὦ παλαιοὶ καὶ κριταὶ συγγραμμάτων, ποῖα ἑξῆς εἰσι πρέποντα ποιητῇ, καὶ ὑποθέσει δὲ ποίᾳ; εἰ μὴ ἄρα πρέποντα ταῦτα τῷ Ἀριστοφάνει φατὲ καὶ τῇ ὑποθέσει αὐτοῦ. Τζέτζης ἢ πα〈ντάπασι〉 τὸ δρᾶμα ταύτης τῆς κωμῳδίας φησὶ διαγράφειν ὡς Ἀριστοφάνους ἀνάξιον, ἢ συγκεχωρηκότας οἰκεῖον εἶναι αὐτοῦ, κοιμώμενον λέγειν ἢ πυρέττοντα ἢ μεθύοντα ἢ μεμηνότα τοῦτο συγγράψασθαι. ἄλλως δὲ οὐκ ἐᾷ τοῦτο Ἀριστοφάνους λογίζεσθαι, ἀνδρὸς πυκνοῦ καὶ συνεστηκότος καὶ ἀεὶ συνορῶντος, ἃ γράφων ἐστίν.

book 1445 “ἀμαθέστερόν πως· ἀπαιδευτότερον, ἢ κοινότερον· παρὰ τὴν παροιμίαν σαφέστερόν μοι κἀμαθέστερον φράσον.” τῷ φαινομένῳ μὲν οὕτως· ἐσχηματισμένως δὲ ἀμαθῆ τὸν Εὐριπίδην φησίν.

book 1448 σωθείημεν] συνίζησις.

book 1451 “εὖ γ’, ὦ Παλάμηδες: πρὸς τὸν Εὐριπίδην, ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.”

book 1452 “ταυτὶ πότερον αὐτὸς εὗρες: συναθετεῖται τοῖς ἄνω πέντε στίχοις καὶ οὗτος, τοῖς ἀπὸ τοῦ “εἴ τις πτερώσας” μέχρι καὶ ὅλου τοῦ “ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων”. μένων γὰρ ἀκυροῖ τὴν ἐκείνων ἀθέτησιν.”

book 1453 “τὰς δ’ ὀξίδας Κηφισοφῶν: Τιμόθεος ὡς ἐκ λαχανοπώλιδος ὄντα τὸν Εὐριπίδην φησὶν εἰπεῖν τὰς ὀξίδας”.

book 1455 “πόθεν: ἀντὶ τοῦ οὐδαμῶς.”

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1459 χλαῖνα: παχὺ ἱμάτιον ὑφαντόν, θερμαίνειν δυνάμενον. σισύρα δὲ τὸ ἐκ δερμάτων ἐντρίχων, σισύρνα τὸ ἐκ δερμάτων ἀτρίχων· σίσυς δὲ πᾶν εὐτελέστατον ἱμάτιον. ὁ δὲ νοῦς· ᾗτινι πόλει οὐκ ἀρέσκων ἐστὶν οὔτ' ἀγαθός τις οὔτε πονηρός.

book 1462 ἀνίει: ἀνάπεμπε· ἤτοι ἐνθένδε καὶ ἀπὸ τῶν ἐνταῦθα τὴν συμβουλὴν λέγε.

book 1463 τὴν γῆν ὅταν νομίσωσι: τὴν Περικλέους γνώμην λέγει, ὃς τεμνομένης τοῖς Λάκωσιν Ἀττικῆς αὐτὸς συνεβούλευσεν αὐτῆς μὴ φροντίσαι, τὴν τῶν Λακώνων δὲ περιπλεῦσαι καὶ ταύτην διαφθείρειν τε καὶ πορθεῖν.

book 1465 πόρον δὲ τὰς ναῦς: ἡ αὐτὴ πάλιν ἱστορία. "καὶ ἄλλως: πόρον δὲ καὶ πορισμὸν εἶναι χρημάτων τὸ ναῦς ὡς πλείστας ἔχειν, τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω γῆς ἦν, τοῦτον ἀπορίαν νομίζειν, οἷον τὰ θεωρικὰ ἢ δικαστικὰ ἢ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην δὲ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. φησὶ γὰρ ὁ Διόνυσος· "πλήν γ' ὁ δικαστὴς αὐτὰ [καταπίνει μόνος", ὡς

book 1465 πο]λλῶν ὄντων τῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν."

book 1475 "τί δ' αἰσχρόν: παρὰ τὰ ἐξ Αἰόλου [Εὐριπίδου· τί δ' αἰσχρόν, ἢν μὴ] τοῖσι χρωμένοισ{ι} δοκῇ;"

book 1478 "τὸ πνεῖν δὲ δειπνεῖν: παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου· τὸ δὲ κῴδιον προσέθηκεν, ἐπειδὴ καθεύδειν ἔφη."

book 1479 τί δαί: ἀντὶ τοῦ "τίνος ἕνεκα."

book 1481 νὴ Δία: καλῶς, φησὶν ὁ Διόνυσος, λέγεις, μὰ τὸν Δία· οὐ γὰρ ἄχθομαι τῷ ξενίζεσθαι καὶ τρυφᾶν. ἐν ἤθει ὁ λόγος, ἀντὶ τοῦ "χαίρω τούτοις."

book 1491 "χάριεν: Παναίτιος πάντα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τῶν περὶ σκηνὰς φλυάρων, ὡς Εὐριπίδης." Τζέτζης δ' οὔ φησιν ἕτερον λέγειν, ἀλλὰ τὸν Σωφρονίσκου. οἱ σκαριφησμοὶ γὰρ καὶ αἱ σκιαγραφίαι τὰ σχήματα δηλοῦσιν, ἃ διαγράφουσιν ὀστράκῳ τετριμμένῳ φιλόσοφοι.

book 1496 σεμνοῖσι] ἀλαζόσι.

book 1497 λήρων: τὸ σκαριφησμοῖς καὶ σχήμασι λήρων πραγμάτων διατριβὴν καὶ φροντίδα ποιεῖσθαι ἀργὸν καὶ ἀργὴν ἀττικῶς, παραφρονοῦντος ἀνδρός· λείπει τὸ "ἐστί."

book 1498 ἀργὸν] ἀργήν.

book 1504 καὶ δὸς τουτὶ Κλεοφῶντι: ἴσως σχοινίον δίδωσιν αὐτῷ ὁ Πλούτων πρὸς ἀγχόνην, ἤ τι τοιοῦτο σύμβολον θανάτου. ὡς ξένος δὲ ὁ Κλεοφῶν κωμῳδεῖται.

book 1505 καὶ τουτοῒ τοῖσι πορισταῖς: τοῖς περὶ πόρων χρημάτων εἰσηγουμένοις· εἴη δ' ἂν ξίφος, ὃ ἐπιδίδωσιν αὐτοῖς. Μύρμηξ δὲ καὶ Νικόμαχος ὀνόματα κύρια τῶν ποριστῶν.

book 1507 τόδε δ' Ἀρχενόμῳ: φάρμακον δίδωσι τούτῳ.

book 1511/12 στίξας αὐτοὺς καὶ συμποδίσας: μαστίξας καὶ δεσμήσας τούτων τοὺς πόδας.

book 1513 Ἀδείμαντος, υἱὸς Λευκολόφου, στρατηγὸς τοῦ ναυτικοῦ. κωμῳδεῖται δὲ ὡς ξένος.

book 1528 εὐοδίαν: παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου· εὐωδίαν μὲν πρῶτον ἀπὸ στομάτων χέομεν.

book 1532a ἀργαλέων ἐν ὅπλοις συνόδων: χαλεπῶν ἐν ὅπλοις συνόδων καὶ ἐπελεύσεων, ἤτοι συρραγῶν πολεμικῶν.

book 1532b "Κλεοφῶν δὲ μαχέσθω: παρόσον, ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργιννούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων βουλευομένων ἐκ Δεκελείας ἀπιέναι, ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν, ἐπὶ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς

πόλεις οἱ Λακεδαιμόνιοι. οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται. μαχέσθω οὖν, φησί, Κλεοφῶν, καὶ

book 1532b ἄλλοι, ὅσοι τούτῳ ὅμοιοί εἰσιν, ἐν ταῖς πατρίσιν αὑτῶν, καὶ μὴ ἐν τῇ Ἀττικῇ κινείτωσαν πολέμους· οὐ γάρ ἐστιν αὐτῶν πατρὶς αὕτη."

book 1533 "πατρίοις ἐν ἀρούραις: ἐν ταῖς ἑαυτῶν ἀρούραις· κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους."

Eulogikon public reading copy · View original HTML at eulogikon.org